Universidad de Deusto
Biblioteca

1539

IHS

Archivo de Loyola

Sección 3.ª Serie 2.ª N.º 74.

Est. 13.

Plut. 3.

Loyola

H. S. Cleomedum [illegible] Zecia in biblia [illegible]
[illegible]madum Norbertum [illegible] 1583.
(Archivo [illegible])

[illegible]o de Loyola
[illegible]nte
[illegible]eo

Universidad de Deusto
Biblioteca

# ΙΟΥΣΤΙΝΟΥ

## ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ ΠΡΟΣ ΕΛΛΗΝΑΣ.

PARISIIS
In ædibus Carolæ Guillardæ, ad Solem aureum, via Iacobea.
M. D. XXXIX.

## Ἰουστίνου βίος ἐκ τῆς τοῦ Σουΐδα.

Ἰουστῖνος φιλόσοφος, καὶ τῷ σχήματι τῶν φιλοσόφων χρώμενος ἀπὸ τῆς νεαπολιτῶν ἐπαρχίας τῆς παλαιστίνης, ἐν παισὶ πρίσκου τοῦ βακχίου. οὗτος ὑπὲρ τῆς θρησκείας τῶν χριστιανῶν πάνυ ἐκοπίασεν. ὥστε καὶ ἀντωνίνῳ τῷ ἐπίκλην πίῳ, καὶ τοῖς τούτου υἱέσι, καὶ τῇ συγκλήτῳ ῥωμαίων βίβλον κατὰ τῶν ἐθνῶν συνταγεῖσαν ἐπιδοῦναι, τὸν ὀνειδισμὸν τοῦ σταυροῦ μὴ αἰσχυνόμενος. ἔγραψε καὶ ἑτέραν βίβλον ἣν καὶ ἐπέδωκε τοῖς ἀντωνίνου διαδόχοις, τουτέστι μάρκῳ ἀντωνίνῳ, καὶ λουκίῳ αὐρηλίῳ κομμόδῳ. ἔστι δὲ καὶ ἄλλη αὐτοῦ βίβλος κατὰ τῶν ἐθνῶν, ἐν ᾗ περὶ τῆς φύσεως τῶν δαιμόνων διαλέγεται. καὶ τετάρτη βίβλος ὁμοίως κατὰ τῶν ἐθνῶν, ἣν ἐπέγραψεν ἔλεγχον. καὶ ἄλλη περὶ τῆς τοῦ θεοῦ μοναρχίας. καὶ ἄλλη, ἣν ὠνόμασε ψάλτην. καὶ ἑτέρα περὶ ψυχῆς. διάλογόν τε κατὰ ἰουδαίων, ὃν ἐσχεδίασε κατὰ τρύφωνος ἀρχηγοῦ τῶν ἐν ἐφέσῳ ἰουδαίων. οὐ μὴν ἀλλὰ καὶ κατὰ μαρκίωνος ἐπίσημα τεύχη ἐξέδωκε. καὶ τὴν ἄλλην βίβλον κατὰ πασῶν τῶν αἱρέσεων, ἧς μέμνηται ἐν τῷ ἀπολογητικῷ, ὃν ἐπέδωκεν ἀντωνίνῳ τῷ πίῳ. οὗτος ἐν τῇ ῥώμῃ ἔχων τὰς διατριβὰς, διήλεγξε κρίσκην τὸν κυνικὸν τὸν κατὰ τῶν χριστιανῶν βλασφημοῦντα, καλῶν αὐτὸν λαίμαργον, ἄσωτόν τε καὶ ἀκόλαστον, καὶ τὸν θάνατον φοβούμενον πάνυ κατῄσχυνεν ἀποδείξας. τέλος δὲ τῇ τούτου ἐνεργείᾳ καὶ ἐπιβουλῇ ὡς χριστιανὸς ὑπὲρ χριστοῦ ἔπαθεν.

## ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ ΠΡΟΣ ΕΛΛΗΝΑΣ

Ἀρχόμενος τῆς πρὸς ὑμᾶς παραινέσεως, ὦ ἄνδρες ἕλληνες, εὔχομαι τῷ θεῷ, ἐμοὶ μὲν ὑπάρξαι τὰ δέοντα πρὸς ὑμᾶς εἰπεῖν, ὑμᾶς δὲ τῆς προτέρας ἀφεμένους φιλονεικίας, καὶ τῆς τῶν προγόνων πλάνης ἀπαλλαγέντας, ἑλέσθαι τὰ λυσιτελοῦντα νῦν, οὐδὲν οἰομένους περὶ τοὺς προγόνους ὑμῶν ἔσεσθαι παρ' ὑμῶν πλημμελοῦς, εἰ τἀναντία νυνὶ τῶν προτέρων μὴ καλῶς δοξάντων αὐτοῖς χρήσιμα φαίνοιτο παρ' ὑμῖν. καὶ γὰρ τῶν πραγμάτων ἀκριβὴς ἐξέτασις, καὶ τὰ δόξαντα πολλάκις καλῶς ἔχειν, ἀλλοιότερα δείκνυσιν, ἀκριβεστέρᾳ πείρᾳ τἀληθὲς βασανίσασα. ἐπεὶ τοίνυν ὑμῖν ὁ περὶ τῆς ἀληθοῦς θεοσεβείας πρόκειται λόγος, ἧς οὐδὲν οἶμαι προτιμότερον τοῖς ἀκινδύνως βιοῦν προῃρημένοις εἶναι νενόμισται, διὰ τὴν μέλλουσαν μετὰ τὴν τελευτὴν τοῦδε τοῦ βίου ἔσεσθαι κρίσιν. ἣν οὐ μόνον οἱ ἡμέτεροι, κατὰ θεὸν προκηρύττουσι πρόγονοι προφῆταί τε καὶ νομοθέται, ἀλλὰ καὶ οἱ παρ' ὑμῖν νομισθέντες εἶναι σοφοί, οὐ ποιηταὶ μόνον, ἀλλὰ καὶ οἱ φιλόσοφοι, οἱ τὴν ἀληθῆ καὶ θείαν εἰδέναι παρ' ὑμῖν ἐπαγγελλόμενοι γνῶσιν, ἔδοξέ μοι καλῶς ἔχειν, πρῶτον μὲν τοὺς θεοσεβείας ἡγεμόνας τε καὶ ὑμῶν ἐξετάσαι διδασκάλους, οἵτινες, καὶ ὅσοι, καὶ καθ' οὓς γεγόνασι χρόνους, ἵν' οἱ μὲν πρό-

Universidad de Deusto
Biblioteca



πρὸν τὴν ψευδώνυμον θεοσέβειαν τῶν προγόνων παρει-ληφότες, νῦν γοῦν αἰσθόμενοι τῆς παλαιᾶς ἐκείνης ἀπαλλαγῶσι πλάνης· ἡμεῖς δὲ σαφῶς καὶ φανερῶς ἡμᾶς αὐτοὺς ἀποδείξωμεν τῇ τῶν κατὰ θεὸν προγόνων ἑπομένους θεοσεβείᾳ. τίνας τοίνυν ὦ ἄνδρες ἕλληνες τῆς θεοσεβείας ὑμῶν διδασκάλους εἶναι φατέ; τοὺς ποιητάς; ἀλλ' οὐ συνοίσει ὑμῖν πρὸς ἄνδρας τὰ τῶν ποιητῶν εἰδότας λέγειν. ἴσασι γὰρ τὴν ὑπ' αὐτῶν γελοιοτάτην περὶ θεῶν θεογονίαν κομιζομένην, ὡς ἔστιν ὑμῖν ἀπὸ τοῦ κορυφαιοτάτου παρ' ὑμῖν καὶ πρώτου τῶν ποιητῶν ὁμήρου μανθάνειν. οὗτος γὰρ πρῶτον μὲν τὴν τῶν θεῶν γένεσιν ἐξ ὕδατος τὴν ἀρχὴν ἐσχηκέναι φησί. οὕτω γὰρ γέγραφεν,

ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα τηθύν.

ἔπειτα δὲ καὶ ἃ περὶ τοῦ πρώτου παρ' αὐτοῖς νομιζομένου θεοῦ λέγει, ὃν καὶ πατέρα πολλάκις ὀνομάζει ἀνδρῶν τε θεῶν τε, ἀναγκαῖον ὑπομνῆσαι. ἔφη γάρ,

ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

αὐτὸν τοίνυν οὐ πολέμου ταμίαν μόνον τῷ στρατεύματι, ἀλλὰ καὶ ἐπιορκίας τρωσὶ διὰ τῆς αὐτοῦ θυγατρὸς αἴτιον γεγενῆσθαι φησί, ἐρῶντα δὲ σχετλιάζοντα, καὶ ὀλοφυρόμενον, καὶ ὑπὸ τῶν ἄλλων θεῶν ἐπιβουλευόμενον, ὅμηρος εἰσάγει, ὁ ποτὲ μὲν περὶ τοῦ ἑαυτοῦ παιδὸς λέγοντα.

ὤ μοι ἐγών, ὅτ' ἐμοὶ σαρπηδόνα φίλτατον ἀνδρῶν.
μοῖρ' ὑπὸ πατρόκλοιο μενοιτιάδαο δαμῆναι.

ποτὲ δὲ ὑπὲρ τοῦ ἕκτορος,

ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος.



ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ' ὀλοφύρεται ἦτορ.

τίνα δὲ ὁ περὶ τῶν ἄλλων θεῶν καὶ τῆς τοῦ διὸς ἐπιβουλῆς λέγει, ἴσασιν οἱ ἐντυγχάνοντες τοῖς ἔπεσι τούτοις,

ὁππότε μιν ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι,
ἥρη τ', ἠδὲ ποσειδάων, ἠδὲ παλλὰς ἀθήνη.

καὶ εἰ μὴ τὸν, ὃν βριάρεων καλέουσι θεοί, ὑπέδεισαν οἱ μάκαρες θεοί, ἐδέδετο ἂν ὑπ' αὐτῶν ὁ ζεύς. ὅσα δὲ καὶ περὶ τῆς ἐρωτικῆς τοῦ διὸς ἀκολασίας ὅμηρος λέγει, ἀναγκαῖον δι' αὐτὴν ὑμᾶς ὑπομνῆσαι ὧν εἴρηκεν ἐν τῶν. ἔφη γοῦν αὐτὸν οὕτω πρὸς τὴν ἥραν λέγειν,

οὐ γάρ πώποτέ μ' ὧδε θεᾶς ἔρως, οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσε.
οὐδ' ὁπότ' ἠρασάμην ἰξιονίης ἀλόχοιο,
οὐδ' ὅτε περ δανάης καλλισφύρου ἀκρισιώνης,
οὐδ' ὅτε φοίνικος κούρης τηλεκλειτοῖο,
οὐδ' ὅτε περ σεμέλης, οὐδ' ἀλκμήνης ἐνὶ θήβῃ,
οὐδ' ὅτε δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
οὐδ' ὁπότ' αὖ λητοῖς ἐρικυδέος, οὔτε σεῦ αὐτῆς.

τίνα δὲ καὶ περὶ τῶν ἄλλων θεῶν ἐκ τῆς ὁμήρου ποιήσεως ἔξεστι μανθάνειν, καὶ ὅσα ὑπὸ ἀνθρώπων πεπόνθασιν, ἀκόλουθόν ἐστιν ὑπομνῆσαι νυνί. ἄρεα μὲν γοῦν καὶ ἀφροδίτην ὑπὸ διομήδους τετρῶσθαι λέγει. πολλῶν δὲ καὶ ἄλλων θεῶν διηγεῖται πάθη. οὕτω γάρ ἐστιν ἡμῖν ἀπὸ τῆς παραμυθουμένης τὴν θυγατέρα διώνης μανθάνειν. ἔφη γὰρ πρὸς αὐτήν,

τέτλαθι τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ.

πολλοὶ γὰρ δὴ τλῆμεν ὀλύμπια δώματ' ἔχοντες,
ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.
τλῆ μὲν ἄρης, ὅτε μιν ὦτος κρατερός τ' ἐφιάλτης,
παῖδες ἀλωῆος δῆσαν κρατερῷ ἐνὶ δεσμῷ,
χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας.
τλῆ δ' ἥρη, ὅτε μιν κρατερὸς παῖς ἀμφιτρύωνος
δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι
βεβλήκει, τότε καί μιν ἀνήκεστον λάβεν ἄλγος.
τλῆ δ' ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν,
εὖτέ μιν ωὐτὸς ἀνὴρ υἱὸς διὸς αἰγιόχοιο
ἐν πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν.
αὐτὰρ ἔβη πρὸς δῶμα διός, ἐς μακρὸν ὄλυμπον,
κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος· αὐτὰρ ὀϊστὸς
ὤμῳ ἐνὶ στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.

εἰ δὲ καὶ τὸ τῶν λοιπῶν θεῶν ἐξ ἐναντίας μάχης ὑπομνησθῆναι ὑμᾶς προσήκει, αὐτὸς ὑμᾶς ὁ ὑμέτερος ποιητὴς ὑπομνήσει λέγων,

τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἤτοι μὲν γὰρ ἄντα ποσειδάωνος ἄνακτος
ἵστατ' ἀπόλλων φοῖβος, ἔχων ἰὰ πτερόεντα.
ἄντα δ' ἐνυαλίοιο θεὰ γλαυκῶπις ἀθήνη·
ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ
ἄρτεμις ἰοχέαιρα, κασιγνήτη ἑκάτοιο.
λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος ἑρμῆς.

ταῦτα καὶ τοιαῦτα περὶ θεῶν ἐδίδαξεν ὑμᾶς ὅμηρος. καὶ οὐχ ὅμηρος μόνον, ἀλλὰ καὶ ἡσίοδος. ὥστε εἰ μὲν πιστεύετε τοῖς



κορυφαιοτάτοις ὑμῶν ποιηταῖς, τοῖς γενεαλογήσασι τοὺς θεοὺς ὑμῶν, ἀνάγκη ὑμᾶς ἢ τοιούτους αὐτοὺς εἶναι νομίζειν, ἢ μηδ' ὅλως τοὺς θεοὺς αὐτοὺς εἶναι πιστεύειν. εἰ δὲ τοὺς ποιητὰς παραιτεῖσθε λέγειν, ἐπειδὴ μύθους τε αὐτοῖς πλάττειν ἐξεῖναι φατέ, καὶ πολλὰ πόρρω τῆς ἀληθείας περὶ θεῶν μυθωδῶς διεξιέναι, τίνας ἑτέρους τῆς θεοσεβείας ὑμῶν διδασκάλους ἔχειν οἴεσθε, ἢ πῶς αὐτοὺς ταύτην μεμαθηκέναι φατέ; ἀδύνατον γὰρ τοὺς μὴ πρότερον παρὰ τῶν εἰδότων μεμαθηκότας, τὰ οὕτω μεγάλα καὶ θεῖα πράγματα γινώσκειν. τοὺς σοφοὺς πάντως δὴ τοὺς καὶ φιλοσόφους λέξετε. ἐπὶ τούτους γὰρ ὥσπερ ἐπὶ τεῖχος ὀχυρὸν καταφεύγειν εἰώθατε, ἐπειδάν τις ὑμῖν τὰς τῶν ποιητῶν περὶ θεῶν ἀπαγγέλλῃ δόξας. οὐκοῦν ἐπειδήπερ ἀπὸ τῶν παλαιῶν καὶ πρώτων ἄρχεσθαι προσήκει, ἐντεῦθεν ἀρξάμενος, τὴν ἑκάστου γνώμην ἐκθήσομαι, πολλῷ γελοιοτέραν τῆς τῶν ποιητῶν θεολογίας οὖσαν. θαλῆς μὲν γὰρ ὁ μιλήσιος, ὁ πρῶτος τῆς φυσικῆς φιλοσοφίας ἄρξας, ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων τὸ ὕδωρ ἀπεφήνατο. ἐξ ὕδατος γάρ φησι τὰ πάντα εἶναι, καὶ εἰς ὕδωρ τὰ πάντα ἀναλύεσθαι.

ἀναξίμανδρος δὲ μετὰ τοῦτον, ἀπὸ τῆς αὐτῆς ὁρμώμενος μιλήτου, τὸ ἄπειρον ἀρχὴν ἁπάντων ἔφησεν εἶναι. ἐκ τούτου γὰρ δὴ τὰ πάντα γίνεσθαι, καὶ εἰς τοῦτον τὰ πάντα φθείρεσθαι. τρίτος ἀναξιμένης, καὶ οὗτος ἐκ τῆς μιλήτου ὑπάρχων, ἀέρα τοῦ παντὸς ἀρχὴν εἶναι λέγει. ἐκ γὰρ τούτου τὰ πάντα γίνεσθαι, καὶ εἰς τοῦτον τὰ πάντα ἀναλύεσθαι φησίν. ἡράκλειτος ὁ μεταποντῖνος, ἀρχὴν τῶν πάντων

τὸ πῦρ εἶναι λέγει. ἐκ τοῦ πυρὸς γὰρ τὰ πάντα γίνεσθαι, καὶ εἰς τὸ πῦρ τὰ πάντα τελευτᾶν. Ἀναξαγόρας ὁ κλαζομένιος ἀρχὰς τῶν πάντων τὰς ὁμοιομερείας εἶναι ἔφη. Ἀρχέλαος ὁ ἀπολλοδώρου ἀθηναῖος, ἀέρα ἄπειρον, καὶ τὴν περὶ αὐτὸν πυκνότητα, καὶ μάνωσιν, ἀρχὴν ἁπάντων εἶναι λέγει. οὗτοι πάντες ἀπὸ θάλεω τὰς διαδοχὰς εἰληφότες, τὴν φυσικὴν ὑπ' αὐτῶν καλουμένην μετῆλθον φιλοσοφίαν. εἶθ' ἑξῆς ἀφ' ἑτέρας ἀρχῆς, πυθαγόρας μνησάρχου, σάμιος, ἀρχὰς τοὺς ἀριθμοὺς, καὶ συμμετρείας, καὶ τὰς ἐν αὐτοῖς ἁρμονίας καλεῖ, τά τ' ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα, ἔτι μέντοι μονάδα καὶ τὴν ἀόριστον δυάδα. ἐπίκουρος νεοκλέους ἀθηναῖος ἀρχὰς εἶναι τῶν ὄντων σώματα λόγῳ θεωρητὰ εἶναι λέγει, ἀμέτοχα κενοῦ, ἀγένητα, ἄφθαρτα, οὔτε θραυσθῆναι δυνάμενα, οὔτε διάπλασιν ἐκ τῶν μερῶν λαβεῖν, οὔτε ἀλλοιωθῆναι, διὰ τοῦτο καὶ λόγῳ θεωρητά. ἐμπεδοκλῆς μέτωνος ὁ ἀκραγαντῖνος, τέσσαρα στοιχεῖα, πῦρ, ἀέρα, ὕδωρ, γῆν. δύο δὲ ἀρχικὰς δυνάμεις, φιλίαν καὶ νεῖκος, ὧν ἡ μέν ἐστιν ἑνωτική, ἡ δὲ, διαιρετική.

ὁρᾶτε τοίνυν τὴν ἀταξίαν τῶν παρ' ὑμῖν νομισθέντων γεγενῆσθαι σοφῶν, οὓς διδασκάλους ὑμῶν τῆς θεοσεβείας γεγενῆσθαι φατὲ, τῶν μὲν ὕδωρ ἀποφηναμένων ἀρχὴν ἁπάντων εἶναι, τῶν δὲ πῦρ, τῶν δὲ ἄλλο τι τῶν προειρημένων. καὶ πάντων τούτων πιθανοῖς τισι λόγοις πρὸς κατασκευὴν τῶν μὴ καλῶς δοξάντων αὐτοῖς χρωμένων, καὶ τὸ ἴδιον δόγμα προτιμότερον ἐπιχειρούντων δεικνύναι· ταῦτα ὑπ' αὐτῶν εἴρηται. πῶς οὖν ἀσφαλὲς ὦ ἄνδρες ἕλληνες, τοῖς σώζεσθαι



βουλομένοις, παρὰ τούτων οἴεσθαι δύνασθαι τὴν ἀληθῆ θεοσέβειαν μανθάνειν, τῶν μηδὲ αὐτοὺς πεῖσαι δυνηθέντων τὸ μὴ πρὸς ἀλλήλους στασιάζειν, μηδ' ἐναντίοι τῆς ἀλλήλων φαίνεσθαι δόξης. ἀλλ' ἴσως οἱ τῆς ἀρχαίας καὶ παλαιᾶς ἐκείνης ἀποστῆναι μὴ βουλόμενοι πλάνης, οὔ φασι παρὰ τῶν προειρημένων, ἀλλὰ παρὰ τῶν ἐνδοξοτάτων καὶ τελεωτάτων ἐν ἀρετῇ νομισθέντων εἶναι παρ' αὐτοῖς φιλοσόφων, τὸν περὶ θεοσεβείας εἰληφέναι λόγον, πλάτωνός τε καὶ ἀριστοτέλους. τούτους γὰρ τὴν τελείαν καὶ ἀληθῆ φασὶ μεμαθηκέναι θεοσέβειαν. ἐγὼ δὲ πρῶτον μὲν ἡδέως ἂν πυθοίμην τῶν ταῦτα λεγόντων, παρὰ τίνων αὐτοὺς μεμαθηκότας εἰδέναι φασί. ἀδύνατον γὰρ τοὺς τὰ οὕτω μεγάλα καὶ θεῖα μὴ παρ' εἰδότων μεμαθηκότας, ἢ αὐτοὺς εἰδέναι, ἢ ἑτέρους δύνασθαι διδάσκειν ὀρθῶς. δεύτερον δὲ οἶμαι δεῖν, καὶ τὰς τούτων ἐξετάσαι δόξας. εἰσόμεθα γὰρ μὴ καὶ τούτων ἑκάτερος τἀναντία θατέρῳ φαίνηται λέγων. εἰ δὲ καὶ τούτους μὴ συμφωνοῦντας ἀλλήλοις εὕροιμεν, ῥᾴδιον οἶμαι, καὶ τὴν τούτων ἄγνοιαν γινώσκειν σαφῶς.

πλάτων μὲν γὰρ ὡς ἄνωθεν κατεληλυθὼς, καὶ τὰ ἐν οὐρανοῖς ἅπαντα ἀκριβῶς ἑωρακὼς, τὸν ἀνωτάτω θεὸν ἐν τῇ πυρώδει οὐσίᾳ εἶναι λέγει. ἀριστοτέλης δὲ ἐν τῷ πρὸς ἀλέξανδρον τὸν μακεδόνα λόγῳ συντομόν τινα τῆς ἑαυτοῦ φιλοσοφίας ἐκτιθέμενος ὅρον, σαφῶς καὶ φανερῶς τὴν τοῦ πλάτωνος ἀναιρεῖ δόξαν. οὐκ ἐν τῇ πυρώδει οὐσίᾳ τὸν θεὸν εἶναι λέγων, ἀλλὰ πέμπτον αἰθέριόν τι καὶ ἀμετάβλητον ἀναπλάττων σῶμα, ἐν τούτῳ αὐτὸν εἶναι φασί. γέγραφε γοῦν οὕ-

πῶς οὐχ ὡς αἴτιοι τῆς περὶ τὸ θεῖον πλημμελείας τῶν ἐν τῇ πυρώδει οὐσίᾳ τὸν θεὸν εἶναι φασί. εἶτα ὥσπερ μὴ ἀρκούμενος τῇ κατὰ πλάτωνος βλασφημίᾳ, καὶ τὸν ὑπ' αὐτοῦ τῆς πολιτείας ἐκβληθέντα ὡς ψεύστην, καὶ τρίτον τῆς ἀπὸ τῆς ἀληθείας εἰδώλων, ὡς αὐτὸς ἔφη, μιμητὴν ὄντα ὅμηρον, εἰς ἀπόδειξιν τῶν ὑπ' αὐτοῦ περὶ τοῦ αἰθερίου σώματος λεγομένων καλεῖ μάρτυρα. γέγραφε γάρ. οὕτως που ὁ ὅμηρος ἔφη,

Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι.

βουλόμενος ἐκ τῆς ὁμήρου μαρτυρίας ἀξιόπιστον τὴν ἑαυτοῦ δεικνύναι δόξαν, ἀγνοῶν ὅτι εἰ ὁμήρῳ πρὸς ἀπόδειξιν τοῦ ἀληθῆ ἑαυτὸν λέγειν μάρτυρι χρῷτο, πολλὰ τῶν αὐτῷ δοξάντων οὐκ ἀληθῆ φανήσονται ὄντα. θαλῆς γὰρ ὁ μιλήσιος ὁ πρῶτος παρ' αὐτοῖς τῆς φιλοσοφίας ἄρξας, τὴν πρόφασιν παρ' ὁμήρου λαβὼν τὰς πρώτας αὐτοῦ περὶ ἀρχῶν ἀθετήσει δόξας. αὐτοῦ γὰρ ἀριστοτέλους, θεὸν καὶ ὕλην ἀρχὰς εἶναι τῶν πάντων εἰρηκότος, ὁ πρεσβύτατος τῶν κατ' αὐτοὺς ἁπάντων θαλῆς ἀρχὴν τῶν ὄντων ὕδωρ εἶναι λέγει, ἐξ ὕδατος γὰρ τὰ πάντα εἶναι φησί, καὶ εἰς ὕδωρ ἀναλύεσθαι τὰ πάντα στοχάζεται δὲ πρῶτον μὲν ἀπὸ τοῦ πάντων τῶν ζώων τὴν γονὴν ἀρχὴν οὖσαν ὑγρὰν εἶναι, δεύτερον δὲ ὅτι πάντα τὰ φυτὰ ὑγρῷ τρέφεται, καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ τοῦ ὑγροῦ ξηραίνεται. εἶθ' ὥσπερ μὴ ἀρκούμενος οἷς στοχάζεται, καὶ τὸν ὅμηρον ὡς ἀξιόπιστον μαρτύρεται οὕτως λέγοντα,

ὠκεανὸς ὅσπερ γένεσις πάντεσσι τέτυκται.

πῶς οὖν εἰκότως ὁ θαλῆς πρὸς αὐτόν φησι, διὰ τίνα αἰτίαν ὦ ἀριστότελες, τὰς μὲν πλάτωνος ἀναιρεῖν ἐθέλων δόξας:



ὡς ἀληθεύοντι προσέχεις ὁμήρῳ, ἡμῶν δὲ τὴν ἐναντίαν ἀποφηνάμενος δόξαν, οὐκ ἀληθεύειν ὅμηρον οἴει; ὅτι τοίνυν οἱ σφόδρα θαυμαστοὶ καθ' ὑμᾶς σοφοί, οὐδὲν τοῖς ἄλλοις συμφωνοῦντες φαίνονται, καὶ ἀπὸ τούτων γνῶναι ῥᾴδιον. τοῦ γὰρ πλάτωνος τρεῖς ἀρχὰς τοῦ παντὸς εἶναι λέγοντος θεὸν καὶ ὕλην καὶ εἶδος. θεὸν μὲν τὸν πάντων ποιητὴν, ὕλην δὲ τὴν ὑποκειμένην τῇ πρώτῃ τῶν γινομένων γενέσει, καὶ τὴν πρόφασιν αὐτῷ τῆς δημιουργίας παρέχουσαν. εἶδος δὲ τὸ ἑκάστου τῶν γινομένων παράδειγμα. ἀριστοτέλης τοῦ μὲν εἴδους τῆς ἀρχῆς οὐδαμῶς μέμνηται. δύο δὲ ἀρχὰς θεὸν καὶ ὕλην εἶναί φησι, καὶ αὖθις τοῦ πλάτωνος ἐν τῇ πρώτῃ τοῦ ἀνωτάτω τοῦ οὐρανοῦ ἀφανεῖ σφαίρᾳ τόν τε πρῶτον θεὸν καὶ τὰς ἰδέας εἶναι λέγοντος, ἀριστοτέλης μετὰ τὸν πρῶτον θεὸν, οὐ τὰς ἰδέας, ἀλλά τινας νοητοὺς θεοὺς εἶναι λέγει. οὕτω μὲν οὖν περὶ τῶν ἐν οὐρανοῖς πρὸς ἀλλήλους διαφέρονται πραγμάτων, ὥστε εἰδέναι προσήκει, ὅτι οἱ μηδὲ τὰ παρ' ὑμῖν ἐνταῦθα γνῶναι δυνηθέντες, ἀλλὰ καὶ περὶ τούτων πρὸς ἀλλήλους διενεχθέντες, οὐκ ἀξιόπιστοι φανήσονται περὶ τῶν ἐν οὐρανοῖς διηγούμενοι. Ὅτι τοίνυν οὐδὲ ὁ περὶ τῆς ἐνταῦθα ἀνθρωπίνης ψυχῆς αὐτοῖς συμφωνήσει λόγος, δῆλον ἀπὸ τῶν ὑφ' ἑκατέρου αὐτῶν περὶ αὐτῆς λεχθέντων. Πλάτων μὲν τριμερῆ αὐτὴν εἶναί φησι, καὶ τὸ μὲν λογικὸν αὐτῆς, τὸ δὲ θυμικὸν, τὸ δὲ ἐπιθυμητικὸν εἶναι λέγει. Ἀριστοτέλης δὲ οὐ κοινοτέραν τὴν ψυχὴν εἶναι ἔφη, ἐν ᾧ περιείληπται καὶ τὰ φθαρτὰ μόρια, ἀλλὰ τὸ λογικὸν μόνον, καὶ ὁ μὲν πλάτων, ψυχὴ πᾶσα ἀθάνατος, κέκραγε λέγων. Ἀριστοτέλης δὲ ἐντελέχειαν

αὐτὴν ὀνομάζων, οὐκ ἀθάνατον, ἀλλὰ θνητὴν αὐτὴν εἶναι βούλεται. καὶ ὁ μὲν ἀεικίνητον αὐτὴν εἶναι λέγει. Ἀριστοτέλης δὲ ἀκίνητον αὐτὴν εἶναι ἔφη, ἁπάσης κινήσεως προηγουμένην. ἀλλ᾽ ἐν τούτοις μὲν ὑπεναντία φρονοῦντες ἀλλήλοις ἐλέγχονται. εἰ δέ τις ἀκριβῶς τὰ κατ᾽ αὐτοὺς σκοπεῖν ἐθέλοι, οὐδὲ ταῖς ἑαυτῶν δόξαις ἐμμένειν προῄρηνται. ὁ γοῦν Πλάτων ποτὲ μὲν τρεῖς ἀρχὰς τοῦ παντὸς εἶναι λέγει, θεὸν καὶ ὕλην καὶ εἶδος, ποτὲ δὲ τέσσαρας, προστίθησι γὰρ καὶ τὴν καθόλου ψυχήν. καὶ αὖθις τὴν ὕλην ἀγένητον πρότερον εἰρηκώς, ὕστερον γενητὴν αὐτὴν εἶναι λέγει. καὶ τῷ εἴδει δὲ ἀρχὴν ἰδίαν πρότερον δεδωκώς, καὶ καθ᾽ ἑαυτὸ οὐσιῶσθαι ἀποφήνας, ὕστερον ἐν τοῖς νοήμασιν αὐτὸ τοῦτ᾽ εἶναι λέγει. ἔτι μέντοι γε καὶ πᾶν τὸ γενόμενον φθαρτὸν πρότερον ἀποφηνάμενος εἶναι, ὕστερον ἔνια τῶν γενομένων ἄλυτα καὶ ἄφθαρτα δύνασθαι εἶναι φησί. τί τοίνυν αἴτιον, τοῦ μὴ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς στασιάζειν τοὺς παρ᾽ ὑμῖν νομισθέντας γεγενῆσθαι σοφούς; τὸ μὴ βουληθῆναι δηλονότι παρὰ τῶν εἰδότων μανθάνειν, ἀλλὰ ἑαυτοὺς οἴεσθαι τῇ ἀνθρωπίνῃ αὐτῶν περινοίᾳ, τὰ ἐν οὐρανοῖς δύνασθαι γινώσκειν σαφῶς. καίτοι γε μηδὲ τὰ ἐπὶ τῆς γῆς γνῶναι δυνηθέντων, τὴν γοῦν ἀνθρωπίνην ψυχήν, ἐν οἷς μὲν τῶν παρ᾽ ὑμῖν φιλοσόφων ἐν ἡμῖν, ἕτεροι δὲ περὶ ἡμᾶς εἶναι φασί. οὐδὲ γὰρ ἐν τούτῳ συμφωνεῖν ἀλλήλοις προῄρηνται, ἀλλ᾽ ὥσπερ τὴν ἄγνοιαν διαφόρως μερισάμενοι, καὶ περὶ ψυχῆς φιλονεικεῖν καὶ στασιάζειν πρὸς ἀλλήλους προῄρηνται. οἱ μὲν γὰρ αὐτὴν φασὶ πῦρ εἶναι τὴν ψυχήν, οἱ δὲ τὸν ἀέρα, οἱ δὲ τὸν νοῦν,



οἱ δὲ τὴν κίνησιν, οἱ δὲ τὰς ἀναθυμιάσεις, ἄλλοι δέ τινες δύναμιν ἀπὸ τῶν ἄστρων ῥέουσαν, οἱ δὲ ἀριθμὸν κινητικόν, ἕτεροι δὲ ὕδωρ γονοποιόν. καὶ ὅλως ἄτακτός τις καὶ ἀσύμφωνος ἡ παρ᾽ αὐτοῖς κεκράτηκε δόξα, ἐν μόνῳ τοῖς ὀρθῶς κρίνειν δυναμένοις ἐπαίνου ἀξία φαινομένη, ὅτι πλανωμένους καὶ μὴ τἀληθῆ λέγοντας, ἀλλήλους ἐλέγχειν προῄρηνται.

οὐκοῦν ἐπειδήπερ οὐδὲν ἀληθὲς περὶ θεοσεβείας παρὰ τῶν ὑμετέρων διδασκάλων μανθάνειν ἐστὶ δυνατόν, ἱκανὴν ὑμῖν ἀπόδειξιν τῆς ἑαυτῶν ἀγνοίας, διὰ τῆς πρὸς ἀλλήλους στάσεως παρεσχηκότων, ἀκόλουθον ἡγοῦμαι ἀνελθεῖν ἐπὶ τοὺς ἡμετέρους προγόνους, τοὺς καὶ τοῖς χρόνοις τῶν παρ᾽ ὑμῖν διδασκάλων πολλῷ προειληφότας, καὶ μηδὲν ἀπὸ τῆς ἰδίας αὐτῶν φαντασίας διδάξαντας ἡμᾶς, μηδὲ πρὸς ἀλλήλους διενεχθέντας, ἢ τὰ ἀλλήλων ἀνατρέπειν πειρωμένους, ἀλλ᾽ ἀφιλονείκως καὶ ἀστασιάστως τὴν παρὰ θεοῦ δεξαμένους γνῶσιν, καὶ ταύτην διδάσκοντας ἡμᾶς. οὔτε γὰρ φύσει, οὔτε ἀνθρωπίνῃ ἐννοίᾳ οὕτω μεγάλα καὶ θεῖα γινώσκειν ἀνθρώποις δυνατόν, ἀλλὰ τῇ ἄνωθεν ἐπὶ τοὺς ἁγίους ἄνδρας τηνικαῦτα κατελθούσῃ δωρεᾷ, οἷς οὐ λόγων ἐδέησε τέχνης, οὐδὲ τοῦ ἐριστικῶς τι καὶ φιλονείκως εἰπεῖν, ἀλλὰ καθαροὺς ἑαυτοὺς τῇ τοῦ θείου πνεύματος παρασχεῖν ἐνεργείᾳ, ἵν᾽ αὐτὸ τὸ θεῖον ἐξ οὐρανοῦ κατιὸν πλῆκτρον, ὥσπερ ὀργάνῳ κιθάρας τινὸς ἢ λύρας τοῖς δικαίοις ἀνδράσι χρώμενον, τὴν τῶν θείων ἡμῖν καὶ οὐρανίων ἀποκαλύψῃ γνῶσιν. διὰ τοῦτο τοίνυν ὥσπερ ἐξ ἑνὸς στόματος καὶ μιᾶς γλώττης καὶ περὶ θεοῦ, καὶ περὶ κόσμου κτίσεως, καὶ περὶ πλάσεως ἀνθρώπου, καὶ

περὶ ἀνθρωπίνης ψυχῆς ἀθανασίας, καὶ τῆς μετὰ τὸν βίον τοῦ-
του μελλούσης ἔσεσθαι κρίσεως. καὶ περὶ πάντων ὧν ἀναγκαῖον
ἡμῖν ἐστιν εἰδέναι, ἀκολούθως καὶ συμφώνως ἀλλήλοις ἐδίδα-
ξαν ἡμᾶς, καὶ ταῦτα ἐν διαφόροις τόποις τε καὶ χρόνοις,
τὴν θείαν ἡμῖν διδασκαλίαν πεποιηκότες. ἄρξομαι τοίνυν
ἀπὸ τοῦ πρώτου τῶν ἡμῖν προφήτου τε καὶ νομοθέτου μωυ-
σέως, πρότερον τοὺς χρόνους, καθ' οὓς γέγονε μετὰ πάσης ἀξιο-
πίστου παρ' ὑμῖν μαρτυρίας ἐκθέμενος. οὐ γὰρ ἀπὸ τῶν
θείων καὶ παρ' ἡμῖν ἱστοριῶν μόνον ταῦτα ἀποδεῖξαι πει-
ρῶμαι, ἃς ὑμεῖς οὐδέπω διὰ τὴν παλαιὰν τῶν προγόνων
πλάνην ὑμῶν πιστεύειν βούλεσθε, ἀλλὰ ἀπὸ τῶν ὑμετέ-
ρων, καὶ μηδὲν τῇ ἡμετέρᾳ θρησκείᾳ διαφερουσῶν ἱστο-
ριῶν, ἵνα γνῶτε ὅτι πάντων τῶν παρ' ὑμῖν, εἴτε σοφῶν,
εἴτε ποιητῶν, εἴτε ἱστοριογράφων, ἢ φιλοσόφων, ἢ νομοθε-
τῶν πολλῷ πρεσβύτατος γέγονεν ὁ πρῶτος τῆς θεοσε-
βείας διδάσκαλος ἡμῖν μωυσῆς γενόμενος, ὡς δηλοῦσιν
ἡμῖν αἱ τῶν ἑλλήνων ἱστορίαι. ἐν γὰρ τοῖς χρόνοις ὠγύγου τε
καὶ ἰνάχου, οὓς καὶ γηγενεῖς τινὲς τῶν παρ' ὑμῖν ὑπειλή-
φασι γεγενῆσθαι, μωυσέως μέμνηνται, ὡς ἡγεμό-
νος τε καὶ ἄρχοντος τοῦ τῶν ἰουδαίων γένους. οὕτω γὰρ πο-
λέμων τε ἐν τῇ πρώτῃ τῶν ἑλληνικῶν μέμνηται, καὶ ἀπίων
ὁ ποσειδωνίου ἐν τῇ κατὰ ἰουδαίων βίβλῳ, καὶ ἐν τῇ τε-
τάρτῃ τῶν ἱστοριῶν λέγων, κατὰ ἴναχον ἄργους βασιλέα, ἀ-
μάσιδος αἰγυπτίων βασιλεύοντος, ἀποστῆναι ἰουδαίους, ὧν
ἡγεῖσθαι μωυσέα. καὶ πτολεμαῖος δὲ ὁ μενδήσιος τὰ αἰ-
γυπτίων ἱστορῶν, ἅπασι τούτοις συντρέχει, καὶ οἱ τὰ ἀθη-



ναίων δὲ ἱστοροῦντες ἑλλάνικός τε καὶ φιλόχορος ὁ τὰς ἀτ-
θίδας κάστωρ τε καὶ θαλλὸς, καὶ ἀλέξανδρος ὁ πολυΐστωρ, ἔτι
δὲ καὶ οἱ σοφώτατοι φίλων τε καὶ ἰώσηπος οἱ τὰ κατὰ ἰουδαίους
ἱστορήσαντες ὡς σφόδρα ἀρχαίου καὶ παλαιοῦ τῶν ἰουδαίων
ἄρχοντος μωυσέως μέμνηνται. ὁ γοῦν ἰώσηπος τὸ ἀρχαῖον
καὶ τὸ παλαιὸν τῆς ἱστορίας, διὰ τῆς ἐπιγραφῆς τῶν βιβλίων
σημῆναι βουλόμενος, ἀρχόμενος τῆς ἱστορίας, οὕτω γέ-
γραφε. φλαβίου ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας, τὸ πα-
λαιὸν τῆς ἱστορίας ὀνομάζων. καὶ ὁ ἐνδοξότατος δὲ παρ' ὑμῖν
τῶν ἱστοριογράφων διόδωρος, ὁ τὰς βιβλιοθήκας ἐπιτε-
μὼν ἐν τριάκοντα ὅλοις ἔτεσιν ἀσίαν τε καὶ εὐρώπην, ὡς
αὐτὸς γέγραφε, διὰ πολλὴν ἀκρίβειαν περιελθὼν καὶ αὐ-
τόπτης τῶν πλείστων γενόμενος, τεσσαράκοντα ὅλα τῆς ἑαυτοῦ
ἱστορίας βιβλία γέγραφεν. ὃς ἐν τῇ πρώτῃ βίβλῳ φή-
σας παρὰ τῶν ἐν αἰγύπτῳ ἱερέων μεμαθηκέναι, τόν τε ἀρ-
χαῖον καὶ πρῶτον νομοθέτην μωυσῆν γεγονέναι, αὐταῖς λέ-
ξεσιν οὕτω περὶ αὐτοῦ γέγραφε. μετὰ γὰρ τὴν παλαιὰν τοῦ
κατ' αἴγυπτον βίου κατάστασιν τὴν μυθολογουμένην γε-
νέσθαι, ἐπὶ θεῶν τε καὶ ἡρώων, πεῖσαί φασιν ἐγγράφοις νόμοις
πρῶτον χρῆσθαι τὰ πλήθη, καὶ βίου μωυσῆν ἄνδρα καὶ τῇ
τύχῃ μέγαν, καὶ τῷ βίῳ ἱκανώτατον μνημονευόμενον. εἶτα
βραχὺ προελθὼν, τῶν παλαιῶν νομοθετῶν μνησθῆναι
βουλόμενος, πρώτου μωυσέως μέμνηται. ἔφη γὰρ αὐταῖς λέ-
ξεσιν οὕτως, παρὰ μὲν τοῖς ἰουδαίοις μωυσῆν τὸν καλούμενον
θεὸν, εἴτε θαυμαστὸν, καὶ θείαν ὅλως ἔννοιαν εἶναι κρίναντα τὴν
μέλλουσαν ὠφελήσειν ἀνθρώπων πλῆθος, εἴτε πρὸς τὴν

ὑπερέχων καὶ δύναμιν τοῦ εὑρεῖν λεγομένων τοὺς νόμους, ἀποβλέψαντα τὸν ὄχλον, μᾶλλον ὑπὸ πανηγύρεως διαλαβόντας. δεύτερον δὲ νομοθέτην αἰγύπτιον γεγονέναι φασὶ σάσυχιν, ἄνδρα συνέσει διαφέροντα. τρίτον δὲ λέγουσιν σεσόγχωσιν τὸν βασιλέα, μὴ μόνον πολεμικὰς πράξεις ἐπιφανεστάτας κατεργάσασθαι τὴν κατ' αἴγυπτον, ἀλλὰ καὶ τὸ μάχιμον ἔθνος νομοθεσίαις συστήσασθαι. τέταρτον δέ φασι νομοθέτην γενέσθαι, βόκχοριν τὸν βασιλέα, ὃν ἱστοροῦσι τὰ περὶ τοὺς νομάρχας διατάξαι, καὶ τὰ περὶ τὴν σύμπασαν οἰκονομίαν τῆς αἰγύπτου. ἕκτον δὲ λέγεται τὸν ξέρξου πατέρα Δαρεῖον τοῖς νόμοις ἐπιστῆναι τοῖς τῶν αἰγυπτίων. ταῦτα ὦ ἄνδρες ἕλληνες οἱ ἔξωθεν τῆς ἡμετέρας θεοσεβείας περὶ τῆς ἀρχαιότητος μωυσέως ἱστοροῦντες γεγράφασι. καὶ ταῦτα πάντα τῶν αἰγυπτίων ἱερέων μεμαθηκέναι φάσκοντες, τῶν οἷς οὐκ ἐπέτυχε μωυσῆς μόνον, ἀλλὰ καὶ πάσης τῆς αἰγυπτίων παιδεύσεως μετασχεῖν ἠξιώθη. διὰ τὸ ὑπὸ θυγατρὸς βασιλέως εἰς παιδὸς φιλεῖσθαι χώραν, καὶ διὰ τὴν προειρημένην πρόφασιν πολλῆς ἠξιῶσθαι σπουδῆς, ὡς ἱστοροῦσιν οἱ σοφώτατοι τῶν ἱστοριογράφων, οἱ καὶ τὸν βίον αὐτοῦ καὶ τὰς πράξεις, καὶ τὸ τοῦ γένους ἀξίωμα ἀναγράψασθαι προελόμενοι φίλων τε καὶ ἰώσηππος. οὗτοι γὰρ τὰς ἰουδαίων ἱστοροῦντες πράξεις ἀπὸ μὲν τῶν χαλδαίων γένους τὸν μωσέα γενέσθαι φασί, τῶν δὲ προγόνων αὐτοῦ διὰ λιμοῦ πρόφασιν ἀπὸ τῆς φοινίκης εἰς τὴν αἴγυπτον μεταναστάντων, ἐκεῖ τὸν ἄνδρα τετέχθαι φασίν, ὃν διὰ τὸ ὑπερβάλλουσαν ἀρετὴν ὁ θεὸς τιμῆσαι προύθετο, καὶ ἄρχοντα, καὶ στρατηγὸν, καὶ νομοθέτην



γενέσθαι τοῦ ἑαυτοῦ γένους ἠξίωσεν. ὁπηνίκα ἀπὸ τῆς αἰγύπτου τὸ τῶν ἑβραίων πλῆθος εἰς τὴν οἰκείαν χώραν ἐπανελθεῖν ἐδικαίωσεν. τούτῳ πρώτῳ ὁ θεὸς καὶ τὴν ἄνωθεν εἰς τοὺς ἁγίους ἄνδρας θείαν καὶ προφητικὴν τηνικαῦτα κατιοῦσαν παρέχεται δωρεάν, καὶ πρῶτον τῆς θεοσεβείας ἡμῶν διδάσκαλον γενέσθαι παρεσκεύασεν. εἶτα μετ' αὐτὸν τοὺς τῆς αὐτῆς αὐτῷ τυχόντας δωρεᾶς, καὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν διδάξαντας ἡμᾶς, τούτους ἡμεῖς τῆς ἡμετέρας θρησκείας διδασκάλους γεγενῆσθαι φαμὲν, μηδὲν ἀπὸ τῆς ἀνθρωπίνης αὐτῶν διανοίας διδάξαντας ἡμᾶς, ἀλλ' ἐκ τῆς ἄνωθεν αὐτοῖς παραδοθείσης δωρεᾶς, ὑμεῖς δὲ ἐπειδὴ διὰ τὴν προτέραν τῶν πατέρων ὑμῶν πλάνην, τούτοις πείθεσθαι οὐκ οἴεσθε δεῖν. τίνας διδασκάλους ὑμῶν ἀξιοπίστους τῆς θεοσεβείας γεγενῆσθαι φατέ; Ἀδύνατον γὰρ, ὥσπερ πολλάκις ἔφην, τὰ οὕτω μεγάλα καὶ θεῖα μὴ πρότερον παρὰ τῶν εἰδότων μεμαθηκότας, ἢ αὐτοὺς εἰδέναι, ἢ ἑτέρους δύνασθαι διδάσκειν ὀρθῶς. οὐκοῦν ἐπειδήπερ ἱκανῶς ἐν τοῖς προειρημένοις τὰ τῶν φιλοσόφων ὑμῶν ἐλήλεγκται πράγματα πάσης ἀγνοίας καὶ ἀπάτης φανέντα πλήρη, ἀφέμενοί που λοιπὸν πάντως τῶν φιλοσόφων, ὥσπερ πρότερον τῶν ποιητῶν, ἐπὶ τὴν τῶν χρηστηρίων ἀπάτην τραπήσεσθε. οὕτω γὰρ ἀκήκοα λεγόντων τινῶν. οὐκοῦν ἀκόλουθον ἡγοῦμαι ἃ παρ' ὑμῶν πρότερον περὶ αὐτῶν ἀκήκοα λεγόντων, ταῦτα ἐν καιρῷ νυνὶ πρὸς ὑμᾶς εἰπεῖν. ὀνομαστοῦ γάρ τινος, ὡς αὐτοί φατε, τῶν παρ' ὑμῖν χρηστηρίου, τίνας συνέβη θεοσεβεῖς ἄνδρας γεγενῆσθαί ποτε, οὕτω τὸ χρηστήριον εἰρηκέναι φατέ.

μοῦνοι χαλδαῖοι σοφίην λάχον, ἠδ' ἄρ' ἑβραῖοι
αὐτογένητον ἄνακτα σεβαζόμενοι θεὸν ἁγνῶς.

οὐκοῦν ἐπειδήπερ οἴεσθε παρὰ τῶν χρηστηρίων ὑμῶν δύνασθαι τἀληθῆ μανθάνειν ἐντυχόντες ταῖς ἱστορίαις καὶ τοῖς περὶ τοῦ βίου μωυσέως γραφεῖσιν ὑπὸ τῶν ἔξωθεν τῆς ἡμετέρας θρησκείας, καὶ γνόντες ὅτι ἐκ τοῦ τῶν χαλδαίων καὶ ἑβραίων γένους ὥρμητο μωυσῆς, καὶ οἱ λοιποὶ προφῆται, μηδὲν παράδοξον γεγενῆσθαι νομίζετε, εἰ ἐκ γένους ὄντα θεοσεβῶν τὸν ἄνδρα, καὶ ἀξίως τῆς τῶν προγόνων θεοσεβείας βεβιωκότα, ὁ θεὸς τῇ μεγάλῃ ταύτῃ δωρεᾷ τιμῆσαι προὔθετο, καὶ πρῶτον ἁπάντων ἀποφῆναι τῶν προφητῶν. ἀναγκαῖον δὲ οἶμαι καὶ τοὺς χρόνους σκοπεῖν, καθ' οὓς οἱ καθ' ὑμᾶς γεγόνασι φιλόσοφοι, ὅπως γνῶτε, ὅτι νέος σφόδρα καὶ βραχύς ἐστιν ὁ τούτους ὑμῖν ἀνενεγκὼν χρόνος. οὕτω γὰρ ὑμῖν ἔσται δυνατὸν, καὶ τὴν μωυσέως ἀρχαιότητα ῥαδίως γνῶναι. ἵνα δὲ μὴ περὶ τῶν χρόνων διεξιὼν παρέλκειν δόξω πλείοσιν ἀποδείξεσι χρώμενος, ἀποχρώντως οἶμαι καὶ ἀπὸ τούτων δεικνύναι. σωκράτης μὲν γὰρ πλάτωνος, πλάτων δὲ ἀριστοτέλους διδάσκαλος γέγονεν, οὗτοι δὲ κατὰ τοὺς φιλίππου καὶ ἀλεξάνδρου τοῦ μακεδόνος ἤκμασαν χρόνους, καθ' οὓς καὶ οἱ ἀθηναίων ῥήτορες δηλοῦσιν ἡμῖν σαφῶς, καὶ οἱ Δημοσθένους κατὰ φιλίππου γραφέντες λόγοι. ὅτι δὲ καὶ ἀριστοτέλης ἀλεξάνδρῳ συνῆν ἐν τῷ τῆς βασιλείας χρόνῳ, οἱ τὰς ἀλεξάνδρου ἱστορήσαντες πράξεις, ἱκανῶς δηλοῦσι. πανταχόθεν οὖν γνῶναι ῥᾴδιον, ὅτι πολλῷ ἀρχαιοτέραν πασῶν τῶν ἔξωθεν ἱστοριῶν τὴν μωυσέως ἱστορίαν εἶναι συμβαίνει.



ἀλλ' ὥς τε οὐδὲ τοῦτο ἀγνοεῖν ὑμᾶς προσήκει, ὅτι οὐδὲν ἕλλησι πρὸ τῶν ὀλυμπιάδων ἀκριβὲς ἱστόρηται, οὐδ' ἔστι τι σύγγραμμα παλαιὸν, ἑλλήνων ἢ βαρβάρων σημαῖνον πρᾶξιν. μόνη δὲ ἡ τοῦ προφήτου μωυσέως προϋπῆρχεν ἱστορία, ἣν ἐκ τῆς θείας ἐπιπνοίας μωυσῆς γέγραφεν, τοῖς τῶν ἑβραίων γράμμασι. τὰ γὰρ τῶν ἑλλήνων οὐδέπω ἦν, ὡς δηλοῦσι καὶ αὐτοὶ οἱ τῶν γραμμάτων διδάσκαλοι, φάσκοντες κάδμον πρῶτον ἐκ φοινίκης αὐτὰ κομίσαντα, ἕλλησι μεταδοῦναι. καὶ ὁ πρῶτος δὲ τῶν παρ' ὑμῖν φιλοσόφων μαρτυρεῖ πλάτων ὕστερον εὑρίσκεσθαι αὐτὰ γέγραφε. γὰρ ἐν τῷ τιμαίῳ τὸν τῶν σοφῶν σοφώτατον σόλωνα ἐκ τῆς αἰγύπτου ἐπανελθόντα κριτίᾳ λέγειν ταῦτα, ἀκηκοέναι αἰγυπτίου τινὸς ἱερέως οὐ μάλα παλαιοῦ πρὸς αὐτὸν λέγοντος, ὦ σόλων, σόλων, ἕλληνες παῖδες ἐστὲ ἀεὶ, γέρων δὲ ἕλλην οὐκ ἔστιν. εἶτα αὖθις, νέοι ἔφη ἐστὲ τὰς ψυχὰς πάντες. οὐδεμίαν γὰρ ἐν αὐταῖς ἔχετε παλαιὰν δόξαν, οὐδὲ μακρῷ χρόνῳ παλαιὸν οὐδέν. ἀλλ' ὑμᾶς λέληθε, διὰ τὸ ἤδη πολλὰς γενεὰς τελευτᾶν ἀφώνους. εἰδέναι τοίνυν προσήκει, ὅτι πάσας ἱστορίας τοῖς τῶν ἑλλήνων ὕστερον εὑρεθεῖσι γράμμασι γεγράφθαι συμβαίνει, καὶ εἴτε ποιητῶν τις ἀρχαίων, εἴτε νομοθετῶν, εἴτε ἱστοριογράφων, εἴτε φιλοσόφων, ἢ ῥητόρων μνημονεῦσαι βούλοιτο, εὑρήσει τούτους τὰ ἑαυτῶν συγγράμματα τοῖς τῶν ἑλλήνων γεγραφότας γράμμασιν. γνώτω δὲ τοὺς ἔξωθεν ἐντυχὼν ἱστορίαις, ὅτι πτολεμαῖος ὁ τῆς αἰγύπτου βασιλεὺς βιβλιοθήκην ἐν τῇ ἀλεξανδρείᾳ κατασκευάσας, καὶ πανταχόθεν συναγαγὼν βιβλία, καὶ πληρώσας αὐτὴν, ἔπειτα

μαθὼν δὲ ἀρχαίας ἱστορίας, τοῖς τῶν Ἑβραίων γράμμασιν γεγραμμένας σώζεσθαι ἀκριβῶς συμβαίνει, γνῶναι τὰ γεγραμμένα βουλόμενος, σοφοὺς ἄνδρας ἑβδομήκοντα τοὺς καὶ τὴν Ἑλλήνων καὶ Ἑβραίων διάλεκτον εἰδότας ἑρμηνεῦσαι αὐτῷ τὰς βίβλους προσέταξεν ἀπὸ τῆς Ἱερουσαλὴμ μεταπεμψάμενος, καὶ ἵνα πάσης ὀχλήσεως ἐκτὸς ὄντες θᾶττον ἑρμηνεύσωσι, προσέταξεν αὐτοῖς, μὴ ἐν αὐτῇ τῇ πόλει, ἀλλὰ ἀπὸ ἑπτὰ σταδίων ἔνθα τὴν Φάρον ᾠκοδομῆσθαι συμβαίνει, ἰσαρίθμους τῶν ἑρμηνευόντων οἰκίσκους γενέσθαι μικρούς, ὅπως ἕκαστος ἰδίᾳ καθ' ἑαυτὸν τὴν ἑρμηνείαν πληρώσῃ, προστάξας τοῖς ἐφεστῶσιν οἰκέταις πάσης μὲν αὐτοὺς θεραπείας τυγχάνειν, εἴργεσθαι δὲ τῆς πρὸς ἀλλήλους ὁμιλίας, ἵνα τὸ τῆς ἑρμηνείας ἀκριβὲς καὶ διὰ τῆς τούτων συμφωνίας γνωσθῆναι δυνηθῇ. ἐπεὶ δὲ ἔγνω τοὺς ἑβδομήκοντα ἄνδρας μὴ μόνον τῇ αὐτῇ διανοίᾳ, ἀλλὰ καὶ ταῖς αὐταῖς λέξεσι χρησαμένους, καὶ μηδὲ ἄχρι μιᾶς λέξεως τῆς πρὸς ἀλλήλους συμφωνίας διημαρτηκότας, ἀλλὰ τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν γεγραφότας, ἐκπλαγεὶς, καὶ θείᾳ δυνάμει τὴν ἑρμηνείαν γεγράφθαι πιστεύσας, πάσης μὲν τιμῆς ἀξίους αὐτοὺς, ὡς θεοφιλεῖς ἄνδρας ἔγνω· μετὰ πολλῶν δὲ δώρων αὐτοὺς εἰς τὴν ἑαυτῶν πατρίδα ἐπανελθεῖν προσέταξεν. τὰς δὲ βίβλους ἐκθειάσας, ὡς εἰκὸς, ἐκεῖσε ἀνέθηκε. ταῦτα οὐ μῦθος ὑμῖν ὦ ἄνδρες Ἕλληνες, οὐδὲ πεπλασμένας ἱστορίας ἀπαγγέλλομεν. ἀλλ' αὐτοὶ ἐν τῇ Ἀλεξανδρείᾳ γενόμενοι, καὶ τὰ ἴχνη τῶν οἰκίσκων ἐν τῇ Φάρῳ ἑωρακότες ἔτι σωζόμενα, καὶ παρὰ τῶν ἐκεῖ, ὡς τὰ



πάτρια παρειληφότων ἀκηκοότες, ταῦτα ἀπαγγέλλομεν· ἃ καὶ παρὰ ἑτέρων ἔξεστιν ὑμῖν μανθάνειν, καὶ μάλιστα παρὰ τῶν περὶ τούτων ἱστορησάντων σοφῶν καὶ δοκίμων ἀνδρῶν, Φίλωνός τε καὶ Ἰωσήπου, καὶ ἑτέρων πλειόνων. εἰ δέ τις φάσκοι τῶν προχείρως ἀντιλέγειν εἰθισμένων, μὴ ἡμῖν τὰς βίβλους ταύτας, ἀλλὰ Ἰουδαίοις προσήκειν, διὰ τὸ ἔτι καὶ νῦν ἐν ταῖς συναγωγαῖς αὐτῶν σώζεσθαι, καὶ μάτην ἡμᾶς ἐκ τούτων φάσκειν τὴν θεοσέβειαν μεμαθηκέναι λέγοι. γνώτω ἀπ' αὐτῶν τῶν ἐν τοῖς βιβλίοις γεγραμμένων, ὅτι οὐκ αὐτοῖς, ἀλλὰ ἡμῖν ἡ ἐκ τούτων διαφέρει διδασκαλία. τὸ δὲ παρὰ Ἰουδαίοις ἔτι καὶ νῦν τὰς τῇ ἡμετέρᾳ θεοσεβείᾳ διαφερούσας σώζεσθαι βίβλους, θείας προνοίας ἔργον ὑπὲρ ἡμῶν γέγονεν. ἵνα γὰρ μὴ ἐκ τῆς ἐκκλησίας προκομίζοντες πρόφασιν ῥᾳδιουργίας τοῖς βουλομένοις βλασφημεῖν ἡμᾶς παράσχωμεν, ἀπὸ τῆς τῶν Ἰουδαίων συναγωγῆς ταύτας ἀξιοῦμεν κομίζεσθαι. ἵνα ἀπ' αὐτῶν τῶν ἔτι παρ' αὐτοῖς σωζομένων βιβλίων, ὡς ἡμῖν τὰ πρὸς διδασκαλίαν ὑπὸ τῶν ἁγίων ἀνδρῶν γραφέντα δίκαια σαφῶς καὶ φανερῶς προσήκει, φανῇ. Δεῖ τοίνυν ὑμᾶς ὦ ἄνδρες Ἕλληνες τὰ μέλλοντα προορωμένους, καὶ εἰς τὴν ὑπὸ πάντων, οὐ μόνον θεοσεβῶν, ἀλλὰ καὶ τῶν ἔξωθεν κηρυττομένην ἀφορῶντας κρίσιν, μὴ τῇ τῶν προγόνων ὑμῶν ἀβασανίστῳ προσέχειν πλάνῃ. μηδ' εἴ τι σφαλέντες αὐτοὶ παραδεδώκασιν ὑμῖν, τοῦτ' ἀληθὲς εἶναι νομίζειν, ἀλλ' εἰς τὸν τοῦ τούτου ἀποτυχίας δεινῆς ὁρῶντας κίνδυνον, ζητεῖν καὶ ἐρευνᾶν ἀκριβῶς, καὶ τὰ ὑπ' αὐτῶν τῶν ὑμετέρων, ὡς αὐτοὶ φατὲ, διδασκάλων

ἐρημίᾳ. πολλὰ γὰρ καὶ αὐτοὶ ἀπὸ τῆς θείας τῶν ἀνθρώπων προνοίας, καὶ ἄκοντες ὑπὲρ ἡμῶν εἰπεῖν ἠναγκάσθησαν, καὶ μάλιστα οἱ ἐν αἰγύπτῳ γενόμενοι, καὶ ἀπὸ τῆς μωυσέως καὶ τῶν προγόνων αὐτοῦ θεοσεβείας ὠφεληθέντες. οὐ γὰρ λανθάνειν ἐνίους ὑμῶν οἶμαι, ἐντυχόντας τῇ διοδώρου ἱστορίᾳ, καὶ ταῖς τῶν λοιπῶν τῶν περὶ τούτων ἱστορησάντων, ὅτι καὶ ὀρφεὺς, καὶ ὅμηρος, καὶ σόλων ὁ τοὺς νόμους ἀθηναίοις γεγραφὼς, καὶ πυθαγόρας, καὶ πλάτων, καὶ ἄλλοι τινὲς ἐν τῇ αἰγύπτῳ γενόμενοι, καὶ ἐκ τῆς μωυσέως ἱστορίας ὠφεληθέντες, ὕστερον ἐναντία τῶν προτέρων μὴ δοξάντων αὐτοῖς καλῶς ἀπεφήναντο. ὀρφεὺς γοῦν ὁ τῆς πολυθεότητος ὑμῶν, ὡς ἂν εἴποι τις, πρῶτος διδάσκαλος γεγονὼς, οἷα πρὸς τὸν υἱὸν αὐτοῦ μουσαῖον, καὶ τοὺς λοιποὺς γνησίους ἀκροατὰς ὕστερον περὶ ἑνὸς καὶ μόνου θεοῦ κηρύττει λέγων, ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς. ἔφη δὲ οὕτως,

φθέγξομαι οἷς θέμις ἐστί, θύρας δ' ἐπίθεσθε βέβηλοι
πάντες ὁμῶς, σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε μήνης
μουσαῖε, ἐξερέω γὰρ ἀληθέα, μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε
ἰθύνων κραδίης νοερὸν κύτος, εὖ δ' ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα.
εἷς δ' ἔστ' αὐτογενὴς, ἑνὸς ἔκγονα πάντα τέτυκται.
ἐν δ' αὐτοῖς αὐτὸς περιγίνεται, οὐδέ τις αὐτὸν
εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται,
οὗτος δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι



καὶ πόλεμον κρυόεντα, καὶ ἄλγεα δακρυόεντα.
οὐδέ τις ἔσθ' ἕτερος χωρὶς μεγάλου βασιλῆος.
αὐτὸν δ' οὐχ ὁρόω, περὶ γὰρ νέφος ἐστήρικται.
πᾶσιν γὰρ θνητοῖσι θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις
ἀσθενέες δ' ἰδέειν δία τὸν πάντων μεδέοντα.
οὗτος γὰρ χάλκειον ἐς οὐρανὸν ἐστήρικται
χρυσέῳ ἐνὶ θρόνῳ, γαίης δ' ἐπὶ ποσσὶ βέβηκε,
χεῖρά τε δεξιτερὴν ἐπὶ τέρματος ὠκεανοῖο
πάντοθεν ἐκτέτακεν, περὶ γὰρ τρέμει οὔρεα μακρὰ,
καὶ ποταμοὶ, πολιῆς τε βάθος χαροποῖο θαλάσσης.

καὶ αὖθις ἀλλαχοῦ οὕτως λέγει,

εἷς ζεὺς, εἷς ἀΐδης, εἷς ἥλιος, εἷς διόνυσος
εἷς θεὸς ἐν πάντεσσι, τί σοι δίχα ταῦτ' ἀγορεύω;

καὶ ἐν τοῖς ὅρκοις δὲ οὕτως,

οὐρανὸν ὁρκίζω σε θεοῦ μεγάλου σοφὸν ἔργον
αὐδὴν ὁρκίζω σε πατρὸς, τὴν φθέγξατο πρῶτον.

αὐδὴν ἐνταῦθα τὸν τοῦ θεοῦ ὀνομάζει λόγον, δι' οὗ οὐρανὸς καὶ γῆ καὶ ἡ πᾶσα ἐγένετο κτίσις, ὡς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι τῶν ἁγίων ἀνδρῶν προφητεῖαι, αἷς ἐν μέρει καὶ αὐτὸς ἐν τῇ αἰγύπτῳ προσχὼν, ἔγνω ὅτι τῷ λόγῳ τοῦ θεοῦ πᾶσα ἐγένετο κτίσις. διὸ καὶ μετὰ τὸ φάναι, αὐδὴν ὁρκίζω σε πατρὸς ἣν φθέγξατο πρῶτον. παρ' αὐτοῖς συνάπτει λέγων,

ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς,

ἐνταῦθα τὸν λόγον αὐδὴν διὰ τὸ ποιητικὸν ὀνομάζειν μέτρον. ὅτι γὰρ τοῦθ' οὕτως ἔχει, δῆλον ἀπὸ τοῦ μικρῷ πρόσθεν τοῦ μέ-

Universidad de Deusto
Biblioteca



τοὺς συγχωροῦντας αὐτῷ λόγον αὐτοῦ ὀνομάζειν. ἔφη γάρ,

εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε.

τίνα δὲ καὶ τὴν ἀρχαίαν καὶ σφόδρα παλαιὰν σίβυλλαν, ἧς καὶ πλάτων καὶ ἀριστοφάνης καὶ ἕτεροι πλείους ὡς χρησμῳδοῦ μέμνηνται, διὰ χρησμῶν ὑμᾶς διδάσκειν περὶ ἑνὸς καὶ μόνου θεοῦ συμβαίνει, ἀναγκαῖον ὑπομνῆσαι. λέγει δὲ οὕτως,

εἷς θεὸς μόνος ἐστὶν ὑπερμεγέθης ἀγένητος.
παντοκράτωρ ἀόρατος, ὁρώμενος αὐτὸς ἅπαντα.
αὐτὸς δ' οὐ βλέπεται θνητῆς ὑπὸ σαρκὸς ἁπάσης.

εἶτα ἀλλαχοῦ που οὕτως,

ἡμεῖς δ' ἀθανάτοιο τρίβους πεπλανημένοι εἰμέν.
ἔργα δὲ χειροποίητα γεραίρομεν ἄφρονι μύθῳ,
εἴδωλα ξοάνων τε καταφθιμένων τ' ἀνθρώπων.

καὶ πάλιν ἀλλαχοῦ που οὕτως,

ὄλβιοι ἄνθρωποι κεῖνοι κατὰ γαῖαν ἔσονται,
ὅσσοι δὴ στέρξουσι μέγαν θεὸν εὐλογέοντες
πρὶν φαγέειν, πιέειν τε πεποιθότες εὐσεβίῃσιν,
οἳ νηοὺς μὲν ἅπαντας ἀπαρνήσονται ἰδόντες,
καὶ βωμοὺς εἰκαῖα λίθων ἀφιδρύματα κωφῶν,
αἵμασιν ἐμψύχων μεμιασμένα καὶ θυσίαισι
τετραπόδων. βλέψουσι δ' ἑνὸς θεοῦ εἰς μέγα κῦδος.

ταῦτα μὲν οὖν ἡ σίβυλλα. ὁ δὲ ποιητὴς ὅμηρος, τῇ τῆς ποιήσεως ἀποχρώμενος ἐξουσίᾳ, καὶ τὴν ἐν ἀρχῇ τῆς πολυθεότητος ὀρφέως ζηλώσας δόξαν, μυθωδῶς μὲν πλειόνων θεῶν μέμνηται. ἵνα μὴ δόξῃ τῆς ὀρφέως ἀπᾴδειν ποιή-



σεως, ἣν οὕτως ζηλῶσαι προὔθετο, ὡς καὶ διὰ τοῦ πρώτου τοῦ ποιήματος ἔπους τὴν πρὸς αὐτὸν σημῆναι σχέσιν. τοῦ γὰρ ὀρφέως,

μῆνιν ἄειδε θεὰ δημήτερος ἀγλαοκάρπου,

ἐν ἀρχῇ τῆς ποιήσεως εἰρηκότος, αὐτὸς

μῆνιν ἄειδε θεὰ πηληϊάδεω ἀχιλῆος,

γέγραφεν ἑλόμενος, ὡς ἐμοὶ δοκεῖ, ἐν ἀρχῇ καὶ τὸ κατὰ τὴν ποίησιν ἐκπεσεῖν μέτρου, μὴ δόξῃ τοῦ τῶν θεῶν ὀνόματος μεμνῆσθαι πρώτως. μικρὸν δὲ ὕστερον καὶ τὴν ἑαυτοῦ περὶ ἑνὸς καὶ μόνου θεοῦ σαφῶς καὶ φανερῶς ἐκτίθεται δόξαν, ποτὲ μὲν διὰ τοῦ φοίνικος πρὸς ἀχιλλέα λέγων,

οὐδ' εἴ κέν μοι ὑποσταίη θεὸς αὐτὸς,
γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα.

διὰ τῆς ἀντωνυμίας τὸν ὄντως ὄντα θεὸν σημαίνων. ποτὲ δὲ διὰ τοῦ ὀδυσσέως πρὸς τὸ τῶν ἑλλήνων πλῆθος οὕτω λέγων,

οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω.

ὅτι δὲ οὐκ ἀγαθὸν πολυκοιρανίη, ἀλλὰ τοὐναντίον κακὸν, ἔργῳ δηλῶσαι προὔθετο, πολέμους τε αὐτῶν διὰ τὸ πλῆθος, καὶ μάχας, καὶ στάσεις, καὶ κατ' ἀλλήλων ἐπιβουλὰς διηγούμενος. τὴν γὰρ μοναρχίαν ἄμαχον εἶναι συμβαίνει. ταῦτα μὲν οὖν ὁ ποιητὴς ὅμηρος. εἰ δὲ καὶ τὰς ἀπὸ τῆς σκηνῆς περὶ ἑνὸς θεοῦ μαρτυρίας ἡμᾶς προσθεῖναι δέοι, ἀκούσατε καὶ σοφοκλέους οὕτω λέγοντος. εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶ θεὸς, ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν, πόντου τε χαροπὸν οἶδμα, καὶ ἀνέμων βίας. θνητοὶ δὲ πολλοὶ καρδίᾳ πλανώμενοι, ἱδρυσάμεσθα πημάτων περὶ ψυχὴν θεῶν ἀγάλματ' ἐκ λίθων τε καὶ ξύλων ἢ χρυσοτεύκτων, ἢ ἐλε-

φαντίνων τύπους, θυσίας τε τούτοις καὶ καλὰς πανηγύρεις τελοῦντες, οὕτως εὐσεβεῖν νομίζομεν. ταῦτα μὲν οὖν ὁ σοφοκλῆς, ὁ δὲ τοῦ μνησάρχου πυθαγόρας ὁ τὰ δόγματα τῆς ἑαυτοῦ φιλοσοφίας διὰ συμβόλων μυστικῶς ἐκθέμενος, ὡς δηλοῦσιν οἱ τὸν βίον αὐτοῦ γεγραφότες, ἄξια καὶ αὐτὸς τῆς εἰς αἴγυπτον ἀποδημίας περὶ ἑνὸς θεοῦ φρονῶν φαίνεται. τὴν γὰρ μονάδα ἀρχὴν ἁπάντων λέγων, καὶ ταύτην τῶν ἀγαθῶν ἁπάντων αἰτίαν εἶναι, δι᾽ ἀλληγορίας ἕνα τε καὶ μόνον διδάσκει θεὸν εἶναι. ὅτι δὲ τοῦθ᾽ οὕτως ἔχει, δῆλον ἀφ᾽ ὧν μονάδα καὶ ἓν πολλῷ διαφέρειν ἀλλήλων ἔφη. τὴν μὲν γὰρ μονάδα ἐν τοῖς νοητοῖς εἶναι λέγει. τὸ δὲ ἓν, ἐν τοῖς ἀριθμοῖς εἶναι λέγει. εἰ δὲ καὶ σαφεστέραν ἀπόδειξιν περὶ ἑνὸς θεοῦ τῆς πυθαγόρου δόξης ποθεῖτε γνῶναι, ἀκούσατε καὶ τῆς αὐτοῦ δόξης. οὕτω γὰρ ἔφη, ὁ μὲν θεὸς εἷς, αὐτὸς δὲ οὐχ ὡς τινὲς ὑπονοοῦσιν ἐκτὸς τῆς διακοσμήσεως, ἀλλ᾽ ἐν ἑαυτῷ ὅλος ἐν ὅλῳ τῷ κύκλῳ πάσας ἐπισκοπῶν τὰς γενεσίας ἐστὶ κρᾶσις τῶν ὅλων αἰώνων, καὶ ἐργάτας τῶν αὐτοῦ δυναμέων καὶ ἔργων, ἀρχὰ πάντων, ἐν οὐρανῷ φωστὴρ καὶ πάντων πατὴρ, νοῦς καὶ ψύχωσις, τῶν ὅλων κύκλῳ ἁπάντων κίνασις. οὕτω μὲν οὖν ὁ πυθαγόρας. πλάτων δὲ ἀποδεξάμενος, ὡς ἔοικε, τὴν περὶ ἑνὸς καὶ μόνου θεοῦ, μωυσέως καὶ τῶν ἄλλων προφητῶν διδασκαλίαν, ἣν ἐν αἰγύπτῳ γενόμενος ἔγνω, διὰ δὲ τὰ συμβεβηκότα σωκράτει δεδιὼς μήπως καὶ αὐτὸς ἄνυτόν τινα ἢ καὶ μέλιτον καθ᾽ ἑαυτοῦ γενέσθαι παρασκευάσῃ κατηγοροῦντα αὐτοῦ παρ᾽ ἀθηναίοις καὶ λέγοντα, πλάτων ἀδικεῖ καὶ περι-



εργάζεται, θεοὺς οὓς ἡ πόλις νομίζει οὐ νομίζων, φόβῳ τοῦ κωνείου ποικίλον τινὰ καὶ ἐσχηματισμένον τὸν περὶ θεῶν γυμνάζει λόγον, εἶναί τε θεοὺς τοῖς βουλομένοις καὶ μὴ εἶναι, οἷς τἀναντία δοκεῖ τῷ λόγῳ κατασκευάζων, ὡς ἔσται ῥᾴδιον ἀπ᾽ αὐτῶν τῶν ὑπ᾽ αὐτοῦ λεχθέντων γνῶναι. πᾶν γὰρ τὸ γενόμενον θνητὸν προαποφηνάμενος εἶναι, ὕστερον θεοὺς γεγενῆσθαι λέγει. εἰ τοίνυν ἀρχὴν ἁπάντων τὸν θεὸν καὶ τὴν ὕλην εἶναι βούλεται δηλονότι, ἐξ ὕλης ἀνάγκη πᾶσα τοὺς θεοὺς γεγενῆσθαι λέγει. εἰ δὲ ἐξ ὕλης, ἐξ ἧς καὶ τὸ κακὸν ὡρμῆσθαι ἔφη, οἵους εἶναι τοὺς θεοὺς τοὺς ἐξ ὕλης γενομένους οἴεσθαι προσήκει τοῖς εὖ φρονοῦσι παρήκει σκοπεῖν. διὰ γὰρ τοῦτο καὶ ἀγένητον τὴν ὕλην ἔφησεν εἶναι, ἵνα μὴ δόξῃ τὸν θεὸν τοῦ κακοῦ ποιητὴν εἶναι λέγειν. καὶ περὶ μὲν τῶν ὑπὸ θεοῦ δημιουργηθέντων θεῶν ταῦτ᾽ εἰρηκὼς φαίνεται, θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς, περὶ δὲ τοῦ ὄντως ὄντος θεοῦ τὴν ὀρθὴν ἔχων φαίνεται δόξαν. ἀκηκοὼς γὰρ ἐν αἰγύπτῳ τὸν θεὸν τῷ μωυσῇ εἰρηκέναι, ἐγώ εἰμι ὁ ὢν, ὁπηνίκα πρὸς τοὺς ἑβραίους αὐτὸν ἀποστέλλειν ἔμελλεν, ἔγνω ὅτι οὐ κύριον ὄνομα ἑαυτοῦ ὁ θεὸς πρὸς αὐτὸν ἔφη. οὐδὲν γὰρ ὄνομα ἐπὶ θεοῦ κυριολογεῖσθαι δυνατόν. τὰ γὰρ ὀνόματα εἰς δήλωσιν καὶ διάγνωσιν τῶν ὑποκειμένων κεῖται πραγμάτων, πολλῶν καὶ διαφόρων ὄντων, θεῷ δὲ οὔτε ὁ τιθεὶς ὄνομα προϋπῆρχεν, οὔτε αὐτὸς ἑαυτὸν ὀνομάζειν ᾠήθη δεῖν, εἷς καὶ μόνος ὑπάρχων, ὡς καὶ αὐτὸς διὰ τῶν ἑαυτοῦ προφητῶν μαρτυρεῖ λέγων, ἐγὼ θεὸς πρῶτος. καὶ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ θεὸς ἕτερος οὐκ ἔστι. διὰ τοῦτο



Universidad de Deusto Biblioteca

τοίνυν ὡς καὶ πρότερον ἔφην, οὐδὲ ὀνόματός τινος ὁ θεὸς ἀποστέλλων πρὸς τοὺς ἑβραίους τὸν μωυσέα μέμνηται, ἀλλὰ διά τινος μετοχῆς ἕνα καὶ μόνον θεὸν ἑαυτὸν εἶναι μυστικῶς διδάσκει. ἐγὼ γάρ φησιν εἰμὶ ὁ ὤν, ἀντιδιαστέλλων ἑαυτὸν δηλονότι ὁ ὢν τοῖς μὴ οὖσιν, ἵνα γνῶσιν οἱ πρότερον ἀπατηθέντες, ὅτι οὐχὶ τοῖς οὖσιν, ἀλλὰ τοῖς μὴ οὖσι προσεῖχον. ἐπεὶ τοίνυν ὁ θεὸς ἠπίστατο τοὺς πρώτους ἀνθρώπους, τῆς παλαιᾶς τῶν προγόνων μεμνημένους ἀπάτης, ἣν ὁ μισάνθρωπος δαίμων ἐβουλήθη αὐτοὺς ἀπατῆσαι, φήσας πρὸς αὐτούς, εἰ πεισθείητέ μοι τὴν τοῦ θεοῦ παρελθεῖν ἐντολήν, ἔσεσθε ὡς θεοί, θεοὺς ὀνομάζων τοὺς μὴ ὄντας, ἵνα οἱ ἄνθρωποι οἰηθέντες καὶ ἑτέρους εἶναι θεούς, καὶ ἑαυτοὺς δύνασθαι γενέσθαι θεοὺς πιστεύσωσι. διὰ τοῦτο πρὸς τὸν μωυσέα ἔφη, ἐγώ εἰμι ὁ ὤν. ἵνα δὲ τῆς μετοχῆς ὄντως, τοῦ θεοῦ ὄντος, καὶ μὴ ὄντων διαφορὰν διδάξῃ. πεισθέντες τοίνυν οἱ ἄνθρωποι τῷ ἠπατηκότι δαίμονι, καὶ θεοῦ παρακοῦσαι τολμήσαντες, ἐξῆλθον τοῦ παραδείσου, τοῦ ὀνόματος τοῦ θεοῦ μεμνημένοι, μηκέτι δὲ παρὰ θεοῦ μὴ εἶναι θεοὺς ἑτέρους διδαχθέντες. οὐ γὰρ δίκαιον ἦν τοὺς τὴν πρώτην ἐντολὴν μὴ φυλάξαντας, ἣν φυλάξαι ῥᾴδιον ἦν, διδάσκεσθαι ἔτι, ἀλλὰ τιμωρίαν αὐτοῖς ἐπάγειν δικαίαν. ἐκβληθέντες τοίνυν τοῦ παραδείσου, καὶ οἰόμενοι διὰ τὴν παρακοὴν ἐκβεβλῆσθαι μόνην, οὐ μὴν εἰδότες, διότι καὶ θεοὺς μὴ ὄντας ἐπείσθησαν εἶναι, τὸ τῶν θεῶν ὄνομα καὶ τοῖς μετὰ ταῦτα ἐξ αὐτῶν γενομένοις ἀνθρώποις παρέδωκαν. αὕτη τοίνυν πρώτη περὶ θεῶν ψευδὴς φαντασία, ἀπὸ τοῦ ψεύστου πατρὸς ἀρχὴν ἔσχηκε. εἰδὼς τοίνυν ὁ θεὸς τὰ τῆς πολυ-



θεότητος μὴ ἀληθῆ δόξαν, ὥσπερ τινὰ νόσον τῇ τῶν ἀνθρώπων ἐνοχλοῦσαν ψυχῇ ἀνελεῖν τε καὶ ἀναστεῖλαι βουλόμενος, πρῶτον μὲν τῷ μωυσῇ φανεὶς ἔφη πρὸς αὐτόν, ἐγώ εἰμι ὁ ὤν. ἔδει γὰρ οὖν οἶμαι τὸν ἄρχοντα καὶ στρατηγὸν τοῦ τῶν ἑβραίων γένους ἔσεσθαι μέλλοντα πρῶτον ἁπάντων τὸν ὄντα γινώσκειν θεόν, διὸ καὶ τούτῳ πρώτῳ φανείς, ὡς ἦν δυνατὸν ἀνθρώπῳ φανῆναι θεόν, ἔφη πρὸς αὐτόν, ἐγώ εἰμι ὁ ὤν. εἶτα ἀποστέλλειν αὐτὸν πρὸς τοὺς ἑβραίους μέλλων, κἀκείνοις αὐτὸν τὰ αὐτὰ προστάττει λέγειν, ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. ταῦτα τοίνυν ἐν αἰγύπτῳ μαθὼν ὁ πλάτων, καὶ σφόδρα ἀρεσθεὶς τοῖς περὶ ἑνὸς θεοῦ εἰρημένοις, τοῦ μὲν ὀνόματος μωυσέως, διὰ τὸ ἕνα τε μόνον διδάσκειν θεόν, μνημονεῦσαι παρ' ἀθηναίοις οὐκ ἀσφαλὲς ἡγεῖτο δεδιὼς τὸν ἄρειον πάγον. τὸ δὲ καλῶς εἰρημένον ὑπ' αὐτοῦ, οὐχ ὥσπερ ἐκείνου μαθών, ἀλλ' ὡς ἑαυτοῦ ἐκτιθέμενος δόξαν ἐν τῷ ἐπισπουδασμένῳ αὐτῷ λόγῳ τιμαίῳ, ἐν ᾧ τε θεολογεῖν ἐπεχείρει, διὰ τὸ αὐτό, ὃ καὶ περὶ θεοῦ μωυσῆς γέγραφεν. ἔφη γάρ, ἔστιν οὖν κατ' ἐμὴν δόξαν διαιρετέον, πρῶτον τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε. ἆρ' οὖν ὦ ἄνδρες ἕλληνες τοῖς νοεῖν δυναμένοις οὐ δοκεῖ ἓν καὶ ταυτὸν εἶναι, τῷ ἄρθρῳ μόνῳ διαλλάττον; ὁ μὲν γὰρ μωυσῆς ὁ ὢν ἔφη, ὁ δὲ πλάτων, τὸ ὄν. ἑκάτερον δὲ τῶν εἰρημένων τῷ ἀεὶ ὄντι θεῷ προσήκειν φαίνεται. αὐτός ἐστι μόνος ὁ ἀεὶ ὤν, γένεσιν δὲ οὐκ ἔχων. τί τοίνυν ἐστὶν ἕτερον τὸ τῷ ὄντι ἀεὶ ἀντιδιαστελλόμενον, περὶ οὗ αὐτὸς ἔφη καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε, ἀκριβῶς προσήκει σκοπεῖν. εὑρή-

Universidad de Deusto Biblioteca



σομεν γὰρ αὐτὸν σαφῶς καὶ φανερῶς τὸν μὲν ἀγέννητον αἴ-
διον εἶναι λέγοντα, τοὺς δὲ γεννητοὺς καὶ δημιουργητούς, ὡς αὐτὸς
περὶ τῶν αὐτῶν ἔφη, θεοὶ θεῶν ὧν ἐγὼ δημιουργός, γενομένους
καὶ ἀπολλυμένους, οὕτω γὰρ αὐτὸς λέγει. ἔστι τοίνυν κατ' ἐ-
μὴν δόξαν πρῶτον διαιρετέον, τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ
ἔχον, καὶ τί τὸ γενόμενον, ὂν δὲ οὐδέποτε. τὸ μὲν οὖν νοήσει μετὰ
τοῦ λόγου περιληπτὸν ἀεὶ κατὰ ταυτὰ ὄν, τὸ δ' αὖ δόξῃ μετ' αἰ-
σθήσεως ἀλόγου δοξαστὸν γινόμενον καὶ ἀπολλύμενον, ὂν δὲ
οὐδέποτε. ταῦτα τὰ ῥήματα τοῖς ὀρθῶς νοεῖν δυναμένοις
ἀναίρεσιν καὶ ἀπώλειαν τῶν γενομένων μηνύει θεῶν. ἀνα-
γκαῖον δὲ οἶμαι καὶ τούτῳ προσέχειν τὸν νοῦν, ὅτι οὐδὲ ποιη-
τὴν αὐτὸν ὁ πλάτων, ἀλλὰ δημιουργὸν ὀνομάζει θεῶν.
καίτοι πολλῆς διαφορᾶς ἐν τούτοις οὔσης κατὰ τὴν αὐτοῦ πλά-
τωνος δόξαν, ὁ μὲν γὰρ ποιητής, οὐδενὸς ἑτέρου προσδεό-
μενος, ἐκ τῆς ἑαυτοῦ δυνάμεως καὶ ἐξουσίας ποιεῖ τὸ ποιού-
μενον, ὁ δὲ δημιουργὸς τὴν τῆς δημιουργίας δύναμιν ἐκ τῆς
ὕλης εἰληφὼς κατασκευάζει τὸ γινόμενον. ἀλλ' ἴσως τινὲς
τὴν τῆς πολυθεότητος δογμάτων ἀποστῆναι μὴ βουλόμενοι,
αὐτὸν τὸν δημιουργὸν τοῖς δημιουργηθεῖσι θεοῖς ταῦτ' εἰρη-
κέναι φήσουσιν. ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστέ, οὐδ'
ἄλυτοι τὸ πάμπαν. οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὔτε τεύξεσθε
θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως, μείζονος ἔτι δεσμοῦ
καὶ ἰσχυροτέρου λαχόντες. ἐνταῦθα ὁ πλάτων τοίνυν τὴν πο-
λυθεότητα ἀσπαζομένους δεδιὼς ἐν αἰτίᾳ ἑαυτοῦ τὸν κατ' αὐ-
τὸν δημιουργὸν εἰσάγει λέγοντα. πᾶν γὰρ τὸ γενόμενον φθαρ-
τὸν πρότερον εἰρηκέναι αὐτὸν φήσας, νῦν τἀναντία αὐτὸν



εἰσάγει λέγοντα, ἀγνοῶν ὅτι οὐδαμῶς οὕτω δυνατὸν τὸ τῆς
ψευδολογίας ἐκφυγεῖν ἔγκλημα. ἢ γὰρ τὸ πρότερον εἰρη-
κώς, πᾶν τὸ γενόμενον φθαρτόν, ψεύδεται, ἢ νῦν, τἀναντία
τοῖς πρότερον περὶ αὐτῶν εἰρημένοις ἐπαγγελλόμενος.
εἰ γὰρ ἀνάγκη πᾶσα τὸ γεννητὸν φθαρτὸν εἶναι κατὰ τὸν πρό-
τερον αὐτοῦ ὅρον, πῶς συγχωρεῖ τὸ κατ' ἀνάγκην ἀδύνατον
γενέσθαι δυνατόν. ὥστε μάτην ἔοικεν ὁ πλάτων, ἀδύνατα
χαρίζεσθαι τοῖς κατ' αὐτὸν δημιουργοῖς, τοὺς ἅπαξ διὰ τὸ ἐξ
ὕλης γεγενῆσθαι, φθαρτοὺς καὶ αὐτοὺς γενομένους, αὖθις δι' αὐ-
τοῦ ἀφθάρτους καὶ ἀλύτους ἐπαγγελλόμενος ἔσεσθαι. τὴν
γὰρ τῆς ὕλης δύναμιν, ἀγέννητον καὶ ἰσόχρονον καὶ ἡλικιῶ-
τιν, κατὰ τὴν αὐτοῦ δόξαν, τοῦ δημιουργοῦ οὖσαν, ἀντιστατεῖν εἰ-
κὸς τῇ αὐτοῦ βουλήσει. τῷ γὰρ μὴ πεποιηκότι οὐδεμία ἐξουσία
πρὸς τὸ μὴ γεγονός, ὥστε οὐδὲ βιασθῆναι αὐτὴν δυνατὸν τὴν
ἔξωθεν πάσης ἀνάγκης ἐλευθέραν οὖσαν. διὰ τοῦτο τοίνυν καὶ
αὐτὸς ὁ πλάτων εἰς ταῦτα ἀφορῶν οὕτω γέγραφε. ἀνάγκη
δὲ οὐδὲ θεὸν λέγεσθαι δυνατὸν βιάζεσθαι. πῶς οὖν ὅμηρον τῆς ἑ-
αυτοῦ πολιτείας ἐκβάλλει πλάτων, ἐπειδὴ ἐν τῇ πρὸς ἀχιλ-
λέα πρεσβείᾳ τὸν φοίνικα πεποίηκεν ἀχιλλεῖ λέγοντα,

στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

καίτοι ὁμήρου, οὐ περὶ τοῦ βασιλέως καὶ κατὰ πλάτωνα δημι-
ουργοῦ τῶν θεῶν τοῦτο εἰρηκότος, ἀλλὰ περί τινων θεῶν τῶν παρ'
ἕλλησι πολλῶν εἶναι νομιζομένων. ὡς ἔστιν ἡμῖν καὶ παρὰ τοῦ
πλάτωνος μανθάνειν θεοὶ θεῶν λέγοντος. ᾧ γὰρ ἑνὶ καὶ πρώ-
τῳ θεῷ τὴν ἐξουσίαν καὶ τὸ κράτος ἁπάντων ὅμηρος διὰ τῆς
χρυσῆς ἐκείνης ἀναφέρει σειρᾶς, τοὺς δὲ λοιποὺς θεοὺς τοσοῦτον,

ἀπέχειν ἔφη τῆς ἐκείνου θεότητος, ὥστε αὐτὸν καὶ μηδὲ ἄνθρωπον ὀνομάζειν ἀξιοῦν, τὸν γοῦν ὀδυσσέα, κατὰ τοῦ ἕκτορος πρὸς τὸν ἀχιλλέα εἰσάγει λέγοντα,

Μαίνεται ἐκπάγλως πίσυνος διΐ, οὐδέ τι τίει
Ἀνέρας οὐδὲ θεούς.

Ἐνταῦθά μοι δοκεῖ ὅμηρος πάντως που καὶ αὐτὸς ὥσπερ ὁ πλάτων ἐν αἰγύπτῳ μαθὼν περὶ ἑνὸς θεοῦ σαφῶς καὶ φανερῶς τοῦτο ἐμφαίνειν, ὅτι ὁ τῷ ὄντι πεποιθὼς θεῷ, τῶν μὴ ὄντων ἀμελεῖ. οὕτω γὰρ ὁ ποιητὴς ἀλλαχοῦ που δι' ἑτέρας λέξεως, ἰσοδυναμούσης τῆς τ' ἀντωνυμίας, ταύτῃ τῇ ὑπὸ πλάτωνος εἰρημένῃ μετοχῇ κέχρηται, τὸν ὄντα θεὸν ἀπαγγελλούσῃ περὶ οὗ ὁ πλάτων ἔφη, τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχει, οὐ γὰρ ἁπλῶς εἰρῆσθαί μοι δοκεῖ, τὸ ὑπὸ τοῦ φοίνικος εἰρημένον.

οὐδ' εἴ κέν μοι ὑποσταίη θεὸς αὐτός,
Γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα.

Ἡ γὰρ αὐτὸς ἀντωνυμία τὸν ὄντα θεὸν σημαίνει. οὕτω γὰρ καὶ ὁ παρὰ τῶν χαλδαίων ὑμῖν καὶ ἑβραίων εἰρημένος σημαίνει χρησμός. πυθομένου γάρ τινος, τίνας πώποτε θεοσεβεῖς ἄνδρας γεγενῆσθαι συνέβη, οὕτως εἰρηκέναι αὐτὸν φατέ.

Μοῦνοι χαλδαῖοι σοφίην λάχον, ἠδ' ἄρ' ἑβραῖοι
Αὐτογένητον ἄνακτα σεβαζόμενοι θεὸν αὐτόν.

πῶς οὖν ὁ πλάτων ὁμήρῳ μέμφεται τοὺς θεοὺς τρεπτοὺς εἶναι λέγοντι, καίτοι ὁμήρου διὰ τὸ χρήσιμον τοῦτ' εἰρηκότος. ὡς ἔστι δῆλον ἀπ' αὐτῶν τῶν εἰρημένων. ἴδιον γὰρ τῶν δι' εὐχῆς καὶ θυσιῶν φιλανθρωπίας τυγχάνειν ἀξιούντων, τὸ παύ-



εσθαι καὶ μεταγινώσκειν ἐφ' οἷς ἥμαρτον. οἱ γὰρ ἀνεπιστρεφὲς τὸ θεῖον οἰόμενοι εἶναι, οὐδαμῶς ἀφίστασθαι τῶν ἁμαρτημάτων προῄρηνται, οὐδὲν ὄφελος ἐκ τῆς μετανοίας ἕξειν οἰόμενοι. πῶς ὁμήρου τοῦ ποιητοῦ καταγνοὺς ὁ φιλόσοφος πλάτων, τρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί, εἰρηκότος, αὐτὸς τὸν τῶν θεῶν δημιουργὸν εἰσάγει, οὕτω ῥᾳδίως ψευδόμενον ὡς ποτὲ μὲν θεοὺς θνητούς, ποτὲ δὲ αὐτοὺς ἀθανάτους εἶναι λέγειν. καὶ οὐ μόνον περὶ αὐτῶν, ἀλλὰ καὶ περὶ τῆς ὕλης, ἀφ' ἧς καὶ τοὺς δημιουργηθέντας θεοὺς ὡς αὐτός φησι γεγενῆσθαι ἀνάγκη, ποτὲ μὲν ἀγένητον, ποτὲ δὲ γεννητὴν εἶναι λέγει, ἀγνοῶν ὅτι οἷς ὁμήρῳ μέμφεται, τούτοις αὐτὸς περιπίπτων ἐλέγχεται, τὸν τῶν θεῶν δημιουργὸν οὕτω ῥᾳδίως ψεύδεσθαι λέγων. καίτοι ὁμήρου ἐναντία περὶ αὐτοῦ εἰρηκότος. ἔφη γὰρ αὐτὸν οὕτω περὶ αὐτοῦ λέγειν,

οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλόν,
οὐδ' ἀτελεύτητόν γ', ὅτι κεν κεφαλῇ κατανεύσω.

ἀλλὰ ταῦτα μὲν ἄκων ὡς ἔοικεν ὁ πλάτων, τοὺς τὴν πολυθεότητα ἀσπαζομένους δεδιώς, ἀλλόκοτα περὶ θεῶν διεξιὼν φαίνεται. ὅσα δὲ παρὰ μωυσέως καὶ τῶν προφητῶν περὶ ἑνὸς θεοῦ μυστικῶς προείρηται, ταῦτα μεμαθηκώς, οἴεται δεῖν λέγειν τοῖς θεοσεβεῖν βουλομένοις, τὰ ἑαυτοῦ σημαίνων δόξαι. ἀρεσθεὶς γὰρ τῷ ὑπὸ τοῦ θεοῦ πρὸς τὸν μωυσέα εἰρημένῳ, ἐγώ εἰμι ὁ ὤν, καὶ τὴν βραχεῖαν διὰ τῆς μετοχῆς εἰρημένην ῥῆσιν, μετὰ πολλῆς θεωρίας δεξάμενος, ἔγνω ὅτι τὴν ἰδιότητα αὐτοῦ ὁ θεὸς τῷ μωυσῇ σημαίνειν θέλων ἐγώ εἰμι ὁ ὤν, ἔφη. τὸ ὢν συλλαβῆς οὐχ ἕνα μόνον δηλοῦ-

σης, ἀλλὰ τοὺς τρεῖς, τόν τε παρεληλυθότα, καὶ τὸν ἐνεστῶτα, καὶ
τὸν μέλλοντα. οὕτω δὲ καὶ ὁ πλάτων, τὸ ὢν ἤδη τοῦ ποιητοῦ
μέμνηται χρόνου, ὢν οὐδέποτε λέγων. τὸ γὰρ οὐδέποτε οὐκ ἤδη
τοῦ παρεληλυθότος, ὡς οἴονταί τινες, ἀλλ' ἐπὶ τοῦ μέλλοντος
εἴρηται χρόνου. τοῦτο γὰρ καὶ παρὰ τοῖς ἔξωθεν ἠκρίβωται,
ἀλλὰ τοῦτο εἶναι ὥσπερ ἑρμηνεῦσαι τοῖς ἀγνοοῦσι τὸ μυστι-
κῶς περὶ τῆς ἀϊδιότητος τοῦ θεοῦ, διὰ τῆς μετοχῆς εἰρημένον
βουλόμενος ὁ πλάτων, αὐταῖς λέξεσι γέγραφεν οὕτω,
ὁ μὲν δὴ θεὸς ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχὴν καὶ
τελευτὴν, καὶ μέσα τῶν πάντων ἔχων. ἐνταῦθα ὁ πλά-
των σαφῶς καὶ φανερῶς τὸν παλαιὸν λόγον μωυσέως ὀνο-
μάζει νόμον, τοῦ μὲν ὀνόματος μωυσέως, φόβῳ τοῦ κωνείου με-
μνῆσθαι δεδιώς. ἠπίστατο γὰρ τὴν τοῦ ἀνδρὸς διδασκαλίαν
ἐχθρὰν ἕλλησιν οὖσαν, διὰ δὲ τῆς τοῦ λόγου παλαιότητος, τὸν
μωυσέα σημαίνει σαφῶς. ὅτι δὲ παλαιὸς καὶ πρῶτος
ὁ μωυσέως νόμος, ἐκ τῆς διοδώρου καὶ τῶν λοιπῶν ἱστοριῶν ἱ-
κανῶς ἡμῖν ἐν τοῖς προάγουσιν ἀποδέδεικται. πρῶτον γὰρ
ἁπάντων νομοθέτην αὐτὸν διόδωρος γεγενῆσθαι λέγει, μη-
δέπω μηδὲ τῶν τοῖς ἕλλησι διαφερόντων εὑρεθέντων γραμ-
μάτων, οἷς χρώμενοι τὰς ἑαυτῶν γεγράφασιν ἱστορίας. θαυ-
μαζέτω δὲ μηδεὶς, εἰ περὶ τῆς ἀϊδιότητος τοῦ θεοῦ τῷ μωυ-
σῇ πεισθεὶς ὁ πλάτων οὕτω γέγραφεν. εὑρήσεις γὰρ αὐτὸν
μυστικῶς μὲν τὸν ὄντως ὄντα θεὸν, καὶ τοῖς προφήταις τὴν ἀ-
ληθῆ περὶ τῶν ὄντων ἀναφέροντα γνῶσιν. οὕτω δὲ ἐν τῷ
τιμαίῳ περί τινων ἀρχῶν διαλεγόμενος γέγραφε. τὴν
δὲ πυρὸς ἀρχὴν καὶ τῶν ἄλλων σωμάτων ὑποτιθέμεθα κατὰ τὸν



μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι. τὰς δὲ ἔτι τού-
των ἀρχὰς ὁ θεὸς οἶδεν ἄνωθεν καὶ ἀνθρώπων ὃς ἂν ἐκείνῳ
φίλος ᾖ, ἄνδρας δὲ τινὰς ἑτέρους τῷ θεῷ φίλους εἶναι νο-
μίζει, εἰ μὴ μωυσέα καὶ τοὺς λοιποὺς προφήτας, ὧν ταῖς
προφητείαις ἐντυχὼν, καὶ τὸν περὶ κρίσεως, περὶ αὐτῶν με-
μαθηκὼς λόγον, ἐν τῷ πρώτῳ τῆς πολιτείας λόγῳ, οὕτω
προαναφωνεῖ λέγων, ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευ-
τήσειν εἰσέρχεται αὐτῷ φόβος καὶ φροντὶς, περὶ ὧν ἐν τῷ
πρόσθεν οὐκ εἰσῄει. οἵ τε γὰρ λεγόμενοι μῦθοι, περὶ τῶν ἐν ᾅ-
δου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δέοι ἐκεῖ διδόναι δίκην, κα-
ταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν
μὴ ἀληθεῖς ὦσιν· καὶ αὐτὸς ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθε-
νείας, ἢ καὶ ὥσπερ ἐγγυτέρω ὢν τῶν ἐκεῖ, μᾶλλον καθο-
ρᾷ αὐτὰ, ὑποψίας γοῦν καὶ δείματος μεστὸς γίνεται, καὶ
ἀναλογίζεται ἤδη καὶ σκοπεῖ εἴ τινά τι ἠδίκησεν. ὁ μὲν οὖν
τις εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα, καὶ ἐκ
τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος δειμαί-
νει, καὶ τῇ μετὰ κακῆς τῆς ἐλπίδος, τῷ δὲ μηδὲν ἄδικον
ἑαυτῷ συνειδότι, γλυκεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γη-
ροτρόφος, ὥσπερ καὶ πίνδαρος λέγει. χαριέντως γάρ τοι
ὦ σώκρατες ἐκεῖνος λέγει, εἶπεν ὅ· ὃς ἂν ὁσίως καὶ δικαίως
τὸν βίον διάγῃ, γλυκεῖά οἱ καρδίαν ἀτάλλουσα γηροτρό-
φος ξυναίρει ἐλπὶς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν
κυβερνᾷ. καὶ ταῦτα μὲν ἐν τῷ πρώτῳ τῆς πολιτείας γέγραφε
λόγῳ, ἐν δὲ τῷ δεκάτῳ σαφῶς καὶ φανερῶς ἃ περὶ τῶν
προφητῶν περὶ κρίσεως μεμάθηκεν, ταῦτα οὐχ ὥσπερ

τὴν αὐτοῦ μεμαθηκὼς, λέγει τὸ πρὸς ἕλληνας λέγων, ἀλλ' ὡς παρά τινος, ὡς αὐτῷ πλάττειν ἐδόκει, ἐν πολέμῳ ἀναιρεθέντος, καὶ δωδεκαταίου μέλλοντος θάπτεσθαι, καὶ ἐπὶ τῆς πυρᾶς κειμένου, ἀναβιώσαντός τε, καὶ τὰ ἐκεῖ διηγουμένου ἀκηκοὼς αὐταῖς λέξεσιν οὕτω γέγραφεν. ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ ἑτέρου, ὅπου εἴη ἀριδαῖος ὁ μέγας. ὁ δὲ ἀριδαῖος οὗτος τῆς παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, γέροντα πατέρα ἀποκτείνας, καὶ πρεσβύτερον ἀδελφόν, καὶ ἄλλα δὴ πολλὰ καὶ ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν, οὐχ ἥκει φάναι, οὐδ' ἂν ἥξει δεῦρο. ἐθεασάμεθα γὰρ δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων, ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν, μέλλοντες ἀνιέναι, καὶ τὰ ἄλλα πεπονθότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης, καὶ ἄλλους σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους. ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων, οὓς οἰομένους ἤδη ἀναβήσεσθαι, οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν, ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροίη ἀνιέναι. ἐνταῦθα ἄνδρες ἄγριοι διάπυροι ἰδεῖν παρεστῶτες, καὶ καταμανθάνοντες τὸ φθέγμα, τοὺς μὲν διαλαβόντες ἦγον, τὸν δὲ ἀριδαῖον, καὶ ἄλλους συμποδίσαντες, χεῖράς τε καὶ πόδας καὶ κεφαλὴν καταβαλόντες, καὶ ἐκδείραντες εἷλκον παρὰ τὴν ὁδὸν, ἐκτὸς ἐπ' ἀσπαλάθων γνάμπτοντες, καὶ τοῖς παριοῦσι σημαίνοντες, ὧν ἕνεκά τε καὶ ὅτι εἰς τὸν τάρταρον ἐμπεσούμενοι ἄγοιντο. ἔνθα δὴ φόβων ἔφη πολλῶν καὶ παντοδαπῶν σφίσι γεγονότων, τοῦτον ὑπερβάλλειν, εἰ μυκήσαιτο τὸ στόμιον ὅτε ἀναβαίνοιεν, ὡς καὶ ἀσμενέστατον



ἕκαστον σιγήσαντος ἀναβῆναι, καὶ τὰς μὲν δίκας τε καὶ τιμωρίας ταύτας τινὰς εἶναι, καὶ αὖ τὰς εὐεργεσίας ταύτας ἀντιστρόφους, ἐνταῦθα μοι δοκεῖ ὁ πλάτων οὐ μόνον τὸν περὶ κρίσεως λόγον παρὰ τῶν προφητῶν μεμαθηκέναι, ἀλλὰ καὶ τὸν περὶ τῆς ἀπηρνημένης παρὰ ἕλλησιν ἀναστάσεως. οὐ γὰρ μετὰ σώματος κρίνεσθαι τὴν ψυχὴν φήσας, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι τῷ περὶ τῆς ἀναστάσεως ἐπίστευσε λόγῳ. ἐπεὶ πῶς ἀριδαῖος καὶ οἱ λοιποὶ τὸ ἔχον σῶμα κεφαλὴν καὶ χεῖρας καὶ πόδας, καὶ δέρμα ὑπὸ γῆς καταλείποντες, τοιαύτην ὑπεῖχον ἐν ᾅδου τιμωρίαν. οὐ γὰρ δή που τὴν ψυχὴν κεφαλὴν καὶ χεῖρας, καὶ πόδας, καὶ δέρμα ἔχειν φήσειεν, ἀλλ' ἐν αἰγύπτῳ ταῖς τῶν προφητῶν ἐντυχὼν μαρτυρίαις ὁ πλάτων, καὶ τὴν περὶ τῆς τοῦ σώματος ἀναστάσεως δεξάμενος διδασκαλίαν, μετὰ τοῦ σώματος τὴν ψυχὴν κρίνεσθαι διδάσκει. καὶ οὐχ ὁ πλάτων μόνον, ἀλλὰ καὶ ὅμηρος ὁμοίως ἐν αἰγύπτῳ καὶ αὐτὸς μαθὼν, τὸν τιτυὸν ὁμοίως τιμωρεῖσθαι ἔφη. οὕτω γὰρ ἐν τῇ νεκυομαντείᾳ ὀδυσσεὺς τῷ ἀλκινόῳ διηγεῖται λέγων.

καὶ τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱὸν
κείμενον ἐν δαπέδῳ, ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα
γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον.

ἧπαρ γὰρ οὐ τὴν ψυχὴν, ἀλλὰ τὸ σῶμα ἔχειν δηλοῖ. τὸν δ' αὐτὸν τρόπον καὶ σίσυφον, καὶ τάνταλον μετὰ σώματος τὴν τιμωρίαν ὑπέχειν γέγραφεν. ὅτι δὲ ὅμηρος ἐν αἰγύπτῳ γέγονε, καὶ πολλὰ ὧν ἐκεῖ μεμάθηκεν, εἰς τὴν ἑαυτοῦ μετέθηκε ποίησιν, ἱκανῶς διδάσκει ἡμᾶς διόδωρος ὁ τῶν ἱστοριογράφων ἐνδοξότατος. ἔφη γὰρ αὐτὸν ἐν αἰγύπτῳ γενόμενον



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



μεμαθηκέναι, ὅτι δὲ νηπενθές ἄχολόν τε κακῶν ἐπίληθες ἁπάντων, φάρμακον ἡ ἑλένη λαβοῦσα παρὰ τῆς θῶνος γυναικὸς πολυδάμνας, εἰς τὴν σπάρτην ἐκόμισε, κἀκείνῳ τῷ φαρμάκῳ ἔφη ὅμηρος χρησαμένην τὴν ἑλένην παῦσαι τὸν ἐν τῇ παρουσίᾳ τηλεμάχου παρὰ μενελάῳ γενόμενον θρῆνον. καὶ χρυσῆν δὲ ἀφροδίτην ὠνόμασεν ἐκ τῆς ἐν αἰγύπτῳ ἱστορίας. ἔγνω γὰρ τέμενος χρυσῆς ἀφροδίτης ἐν αἰγύπτῳ λεγόμενον. καὶ πεδίον χρυσῆς ἀφροδίτης ὀνομαζόμενον. καὶ τοῦ χάριν τούτου γέγονε μνήμη νυνί; ἵνα δείξωμεν τὸν ποιητὴν, καὶ τὸ ἀπὸ τῆς θείας τῶν προφητῶν ἱστορίας πολλὰ εἰς τὴν αὐτοῦ μεταβαλόντα ποίησιν. καὶ πρῶτον μὲν τῆς κοσμοποιΐας ὑπὸ μωυσέως τὴν εἰρημένην ἀρχὴν, οὕτω γὰρ μωυσῆς γέγραφεν. ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, εἶτα ἥλιον καὶ σελήνην, καὶ ἀστέρας, ταῦτα γὰρ ἐν αἰγύπτῳ μαθὼν, καὶ τοῖς ὑπὸ αὐτοῦ ἐν τῇ τοῦ κόσμου γενέσει γραφεῖσιν ἀρεσθεὶς, ἐν τῇ τοῦ ἀχιλλέως ἀσπίδι τὸν ἥφαιστον, ὥσπερ εἰκόνα τινὰ τῆς κοσμοποιΐας κατασκευάσαι παρεσκεύασεν. οὕτω γὰρ γέγραφεν,

Ἐν μὲν γαῖαν ἔτευξεν, ἐν οὐρανὸν, ἐν δὲ θάλασσαν,
Ἠέλιον ἀκάμαντα, σελήνην τε πλήθουσαν,
Ἐν δὲ τὰ τείρεα πάντα, τά τ᾽ οὐρανὸς ἐστεφάνωται.

καὶ τοῦ παραδείσου δὲ εἰκόνα τὸν ἀλκινόου κῆπον σώζειν πεποίηκε, ἀειθαλῆ τε αὐτὸν καὶ καρπῶν πλήρη, διὰ τῆς εἰκόνος ἐπιδεικνύς, οὕτω γὰρ γέγραφεν,

Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα
Ὄγχναι καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,



Συκέαι τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι,
Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ᾽ ἐπιλείπει
Χείματος, οὐδὲ θέρευς ἐπετήσιος, ἀλλ᾽ ἀεὶ αὔρη
Ζεφυρίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
Ὄγχνη ἐπ᾽ ὄγχνῃ γηράσκει, μῆλον δ᾽ ἐπὶ μήλῳ.
Αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ᾽ ἐπὶ σύκῳ.
Ἔνθα δέ οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται.
Τῆς ἕτερον μὲν θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
Τέρσεται ἠελίῳ, ἑτέρας δ᾽ ἄρα τε τρυγόωσιν,
Ἄλλας δὲ τραπέουσι, πάροιθε δέ τ᾽ ὄμφακές εἰσιν
Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ᾽ ὑποπερκάζουσι.

ταῦτα τὰ ῥήματα οὐ φανερὰν καὶ σαφῆ μίμησιν τῶν ὑπὸ τοῦ πρώτου προφήτου μωυσέως περὶ τοῦ παραδείσου λεχθέντων δηλοῖ; εἰ δέ τις καὶ τὴν τοῦ πύργου ποίησιν ἀφορᾶν ἐθέλοι, δι᾽ ἧς οἱ τηνικαῦτα ἄνθρωποι τὴν εἰς οὐρανὸν ἄνοδον ἑαυτοῖς ᾤοντο δυνατὸν κατασκευάζειν, εὑρήσει καὶ ταύτην ἱκανῶς δι᾽ ἀλληγορίας μίμησιν ὑπὸ τοῦ ποιητοῦ, διά τε ὤτου καὶ ἐφιάλτου γινομένην. οὕτω γὰρ καὶ ὁ ποιητὴς περὶ αὐτῶν ἔφη,

Οἳ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην ἐν ὀλύμπῳ,
Φυλόπιδα στήσειν πολυαΐκος πολέμοιο.
Ὄσσαν ἐπ᾽ οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ᾽ ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν᾽ οὐρανὸς ἀμβατὸς εἴη.

ὁμοίως δὲ καὶ περὶ τοῦ ἀπ᾽ οὐρανοῦ καταβληθέντος ἐχθροῦ τῶν ἀνθρώπων, ὃν διάβολον αἱ θεῖαι γραφαὶ καλοῦσιν ἀπὸ τῆς πρώτης αὐτοῦ περὶ τὸν ἄνθρωπον διαβολῆς ταύτης τῆς προσηγορίας τυχόντα, καὶ εἴ τις ἀκριβῶς σκοπεῖν ἐθέλοι, εὕροι ἂν τὸν ποιητὴν, τοῦ μὲν διαβόλου

ὀνόματος οὐδαμῶς μεμνημένον, ἐκ δὲ τῆς κακίστης αὐτοῦ πράξεως τὴν ὀνομασίαν πεποιημένον. ἄτην γ' αὐτὸν ὁ ποιητὴς ὀνομάζων, ὑπὸ τοῦ κατ' αὐτοὺς θεοῦ καθῃρῆσθαι αὐτὸν ἐκ τοῦ οὐρανοῦ λέγει. ὥσπερ ἀκριβῶς τῶν ὑπὸ ἡσαΐου τοῦ προφήτου περὶ αὐτοῦ εἰρημένων μεμνημένος ῥητῶν, οὕτως ἐν τῇ ἑαυτοῦ ποιήσει γέγραφεν,

Αὐτίκα δ' εἷλ' ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
μήποτ' ἐς οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι ἄτην, ἣ πάντας ἀᾶται.
ὣς εἰπὼν ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος
χειρὶ περιστρέψας, τάχα καὶ ἵκετο ἔργ' ἀνθρώπων.

καὶ πλάτων δὲ μετὰ τὸν θεὸν καὶ τὴν ὕλην, καὶ εἶδος τρίτην ἀρχὴν εἶναι λέγων. οὐκ ἄλλοθεν ποθὲν, ἀλλὰ παρὰ μωυσέως τὴν πρόφασιν εἰληφὼς φαίνεται, τὸ μὲν τοῦ εἴδους ὄνομα ἀπὸ τῶν μωυσέως μεμαθηκὼς ῥητῶν, οὐ διδαχθεὶς δὲ τηνικαῦτα παρὰ τῶν εἰδότων, ὅτι οὐδὲ ἐκτὸς μυστικῆς θεωρίας τῶν ὑπὸ μωυσέως εἰρημένων σαφῶς γινώσκειν ἔστι δυνατόν. γέγραφε γοῦν μωυσῆς ὡς τοῦ θεοῦ περὶ τῆς σκηνῆς πρὸς αὐτὸν εἰρηκότος, οὕτως δὲ ποιήσεις μοι κατὰ πάντα ὅσα ἐγὼ δεικνύω σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς· καὶ πάλιν, καὶ ἀναστήσεις τὴν σκηνὴν κατὰ τὸ παράδειγμα πάντων τῶν σκευῶν αὐτῆς. καὶ αὖθις μικρὸν ὕστερον, οὕτως ἄρα ποιήσεις κατὰ τὸν τύπον, τὸν δεδειγμένον σοι ἐν τῷ ὄρει. τούτοις οὖν ἐντυχὼν ὁ πλάτων, καὶ οὐ μετὰ τῆς προσηκούσης θεωρίας δεξάμενος τὰ γεγραμμένα ῥητὰ, ᾠήθη εἶδος



εἶναι χωριστὸν προϋπάρχειν τῶν αἰσθητῶν, ὃ καὶ παράδειγμα τῶν γινομένων ὀνομάζει πολλάκις, ἐπειδὴ τὸ μωυσέως οὕτω περὶ τῆς σκηνῆς σημαίνει γράμμα, κατὰ τὸ εἶδος τὸ δεδειγμένον σοι ἐν τῷ ὄρει, οὕτω ποιήσεις αὐτό. ὁμοίως δὲ καὶ περὶ τῆς γῆς καὶ τοῦ οὐρανοῦ, καὶ τοῦ ἀνθρώπου σφαλεὶς φαίνεται. καὶ τούτων γὰρ ἰδέας εἶναι οἴεται, ἐπειδὴ γὰρ μωυσῆς οὕτω γέγραφεν, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, εἶτα παρ' αὐτὰ συνάπτει λέγων, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, ᾠήθη, ὅτι ταύτην μὲν περὶ ἧς ἔφη. ἡ δὲ γῆ ἦν, τὴν προϋπάρχουσαν εἰρῆσθαι, ἐπειδὴ μωυσῆς ἔφη, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, ταύτην δὲ περὶ ἧς λέγει, ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ᾠήθη ταύτην λέγειν αὐτὸν, τὴν κατὰ προϋπάρχον εἶδος ὑπὸ τοῦ θεοῦ γινομένην αἰσθητὴν, ὁμοίως δὲ καὶ περὶ τοῦ γινομένου οὐρανοῦ, τὸν μὲν πεποιημένον οὐρανὸν, ὃν καὶ στερέωμα ὠνόμασεν, τοῦτον εἶναι τὸν γινόμενον αἰσθητὸν, ἕτερον δὲ εἶναι τὸν νοητὸν, περὶ οὗ ὁ προφήτης ἔφη, ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς ἀνθρώπων· καὶ περὶ ἀνθρώπου δὲ ὁμοίως, πρότερον μὲν ὀνόματος ἀνθρώπου μέμνηται μωυσῆς, εἶτα μετὰ τὰ πολλὰ τῶν κτισμάτων περὶ πλάσεως ἀνθρώπου πεποίηται μνήμην, οὕτω λέγων, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. ᾠήθη γοῦν τὸν μὲν πρότερον ὀνομασθέντα ἄνθρωπον προϋπάρχειν τοῦ γινομένου, τὸν δὲ ἐκ τῆς γῆς πλασθέντα ὕστερον κατὰ τὸ προϋπάρχον εἶδος γεγενῆσθαι. ὅτι δὲ ἐκ γῆς ἄνθρωπος πέπλασται, καὶ ὅμηρος ἀπὸ τῆς παλαιᾶς καὶ θείας ἱστορίας μαθὼν τῆς λεγούσης,

Universidad de Deusto
Biblioteca



γῆ ἐστι, καὶ εἰς γῆν ἀπελεύσῃ, τὸ ἄψυχον τοῦ Ἕκτορος σῶμα κωφὴν ὀνομάζει γῆν. ἔφη γοῦν περὶ τοῦ Ἀχιλλέως, μετὰ θάνατον τὸ τοῦ Ἕκτορος σύροντος σῶμα,

κωφὴν γοῦν δὴ γαῖαν ἀεικίζει μενεαίνων.

καὶ αὖθις ἀλλαχοῦ πρὸς τὸν Μενέλαον λέγοντα τοῖς μὴ ἑτοίμως δεξαμένοις τῶν τοῦ Ἕκτορος περὶ τῆς μονομαχίας πρόσκλησιν,

ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

δι' ὧν παραβάλλουσιν ὀργὴν, εἰς τὴν ἀρχαίαν αὐτοὺς ἐκ γῆς ἀναλύων πλάσιν. ταῦτα ἀπὸ τῶν ἀρχαίων ἱστοριῶν ἐν Αἰγύπτῳ μεμαθηκότες Ὅμηρος καὶ Πλάτων ἐν τοῖς ἑαυτῶν γεγράφασι λόγοις. ἐπεὶ πόθεν ἄλλοθεν μεμάθηκεν ὁ Πλάτων πτηνὸν ἅρμα ἐλαύνοντα τὸν Δία ἐν οὐρανῷ λέγει, εἰ μὴ ταῖς τῶν προφητῶν ἐντυχὼν ἱστορίαις. ἔγνω δ' ἀπὸ τῶν τοῦ προφήτου ῥητῶν περὶ τῶν χερουβὶμ οὕτως εἰρημένον, καὶ ἐξῆλθε δόξα κυρίου ἀπὸ τοῦ οἴκου, καὶ ἐπέβη ἐπὶ χερουβὶμ, καὶ ἀνέλαβε τὰ χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ δόξα κυρίου θεοῦ Ἰσραὴλ ἦν ἐπ' αὐτοῖς ὑπεράνωθεν. ἐνθένδε ὁρμώμενος ὁ μεγαλόφωνος Πλάτων μετὰ πολλῆς παρρησίας βοᾷ λέγων. ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς, πτηνὸν ἅρμα ἐλαύνων, ἐπεὶ πόθεν ἄλλοθεν μεμαθηκὼς ταῦτα ἔγραψεν, εἰ μὴ παρὰ Μωϋσέως καὶ τῶν προφητῶν; ὅθεν δὲ τὴν πρόφασιν εἰληφὼς καὶ ἐν τῇ πυρώδει οὐσίᾳ τὸν θεὸν εἶναι ἔφη; οὐκ ἀπὸ τῆς τρίτης τῶν Βασιλειῶν ἱστορίας; ἔνθα γέγραπται, οὐκ ἐν τῷ πνεύματι κύριος, καὶ μετὰ τὸ πνεῦμα συσεισμὸς, οὐκ ἐν τῷ συσεισμῷ κύριος, καὶ μετὰ τὸν συ-



σεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ κύριος, καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς; ἀλλ' ἐκεῖνα μὲν κατ' ἀναγωγὴν μετὰ πολλῆς θεωρίας τοῖς θεοσεβέσι νοεῖν ἀναγκαῖον, Πλάτων δὲ οὐ μετὰ τῆς προσηκούσης θεωρίας προσέχων τοῖς ῥητοῖς, ἐν τῇ πυρώδει οὐσίᾳ τὸν θεὸν εἶναι ἔφη. εἰ δέ τις καὶ περὶ τῆς ἄνωθεν παρὰ θεοῦ καταβάσης ἐπὶ τοὺς ἁγίους ἄνδρας δωρεᾶς, ἣν πνεῦμα ἅγιον ὀνομάζουσιν οἱ ἱεροὶ προφῆται, ἀκριβῶς σκοπεῖν ἐθέλοι, εὕροι ἂν καὶ ταύτην ὑπὸ Πλάτωνος ἐν τῷ πρὸς Μένωνα λόγῳ, δι' ἑτέρου ὀνόματος κηρυττομένην, δεδιὼς γὰρ τὴν τοῦ δωρεὰν πνεῦμα ἅγιον ὀνομάζειν, ἵνα μὴ δόξῃ τῇ τῶν προφητῶν ἑπόμενος διδασκαλίᾳ ἐχθρὸς εἶναι Ἑλλήνων, τοῦτο μὲν ἄνωθεν αὐτὸ παρὰ θεοῦ κατιέναι ὁμολογεῖ, οὐ μὴν πνεῦμα ἅγιον, ἀλλ' ἀρετὴν ὀνομάζειν αὐτὸ ἠξίου. οὕτω γοῦν πρὸς τὸν Μένωνα ἐν τῷ περὶ ἀναμνήσεως λόγῳ πολλὰ πρότερον περὶ τῆς ἀρετῆς ζητήσας, πρότερόν ποτε διδακτὸν ἡ ἀρετὴ, ἢ οὐ διδακτὸν, ἀλλ' ἀσκητὸν, ἢ οὔτε ἀσκητὸν, οὔτε μαθητὸν, ἀλλὰ φύσει παραγινόμενον τοῖς ἀνθρώποις, ἢ ἄλλῳ τινὶ τρόπῳ, αὐταῖς λέξεσιν οὕτως ἀποφαίνεται λέγων. εἰ δὲ νῦν ἡμεῖς ἐν παντὶ τῷ λόγῳ καλῶς ἐζητήσαμέν τε καὶ λέγομεν, ἀρετὴ ἂν εἴη, οὔτε φύσει, οὔτε διδακτὸν, ἀλλὰ θείᾳ μοίρᾳ παραγινομένη ἄνευ νοῦ, οἷς ἂν παραγένηται. ταῦτα οἶμαι σαφῶς παρὰ τῶν προφητῶν περὶ τοῦ ἁγίου πνεύματος μεμαθηκὼς Πλάτων εἰς τὸ τῆς ἀρετῆς ὄνομα μεταφέρων φέρεται. ὁμοίως δ' ὥσπερ οἱ ἱεροὶ προφῆται τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα εἰς ἑπτὰ πνεύματα μερίζεσθαι, οὕτως καὶ αὐτὸς μίαν καὶ τὴν αὐτὴν ὀνομάζων ἀρετὴν, ταύτην εἰς ἀρετὰς τέσσαρας μερίζεσθαι λέγει, τῆς

μὲν ἁγίου πνεύματος οὐδαμῶς μνημονεύειν ἐθέλων, διὰ δέ τι-
νος ἀλληγορίας τὰ ὑπὸ τοῦ προφήτου περὶ τοῦ ἁγίου πνεύματος
εἰρημένα ἀπαγγέλλων σαφῶς, οὕτω τὸ πρὸς τῷ τέλει τοῦ λό-
γου πρὸς τὸν μένωνα ἔφη. ἐκ μὲν τοίνυν τούτου τοῦ λογισμοῦ ὦ
μένων, θεία μοίρα φαίνεται ἡμῖν παραγινομένη ἡ ἀρετὴ, οἷς ἂν
παραγίνηται, τὸ δὲ σαφὲς περὶ αὐτοῦ εἰσόμεθα τότε ὁποίῳ τινὶ
τρόπῳ τοῖς ἀνθρώποις παραγίνεται ἀρετὴ, ὅταν πρότερον ἐπι-
χειρήσωμεν αὐτὸ καθ᾽ αὐτὸ ζητεῖν τί ποτέ ἐστι ἀρετή. ὁ-
ρᾶτε ὅπως τὴν ἄνωθεν κατιοῦσαν δωρεὰν ἀρετὴν ὀνομάζει
μόνον; ἔτι δὲ ζητήσεως ἄξιον εἶναι νομίζει, πότερόν ποτε
ἀρετὴν, ἢ ἕτερόν τι αὐτὸ ὀνομάζεσθαι προσήκει, δεδιὼς αὐτὸ
φανερῶς ἅγιον ὀνομάζειν πνεῦμα, ἵνα μὴ δόξῃ τῇ τῶν προ-
φητῶν ἕπεσθαι διδασκαλίᾳ. πόθεν δὲ μαθὼν ὁ πλάτων, τὸν
χρόνον μετ᾽ οὐρανοῦ γεγενῆσθαι ἔφη; οὕτω γὰρ γέγραφε.
χρόνος δ᾽ οὖν μετ᾽ οὐρανοῦ γέγονεν, ἵνα ἅμα γεννώμενοι ἅμα
καὶ λυθῶσιν, ἄν ποτε λύσις αὐτῶν γίγνηται. οὐχὶ δὲ τοῦτο
ἀπὸ τῆς θείας μωυσέως ἱστορίας μεμαθηκώς; ἔγνω γὰρ ὅ-
τι ἡ τοῦ χρόνου γένεσις ἐκ τῶν ἡμερῶν καὶ μηνῶν, καὶ ἐνιαυτῶν τὴν
ἀρχὴν τῆς συστάσεως εἴληφεν. ὡς οὖν τῆς πρώτης ἡμέρας
τῆς μετ᾽ οὐρανοῦ γενομένης ἀρχὴν τοῦ παντὸς χρόνου περιεχη-
κυίας, οὕτω δὲ μωυσῆς γέγραφεν, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς
τὸν οὐρανὸν, καὶ τὴν γῆν. εἶτα περὶ αὐτὰ συνάπτει λέγων, καὶ
ἐγένετο ἡμέρα μία, ὡς ἀπὸ μέρους ὁ πλάτων τὸν πάντα ση-
μαίνων χρόνον, τὴν ἡμέραν ὀνομάζει χρόνον, ἵνα μὴ δόξῃ
ἡμέρας μεμνημένος, ὡς πάντῃ τοῖς μωυσέως ἑπόμενος
ἐν τοῖς παρ᾽ ἀθηναίοις κατηγορεῖσθαι. πόθεν δὲ καὶ περὶ λύ-



σεως οὐρανοῦ φαντασθεὶς οὕτω γέγραφεν, οὐχὶ καὶ τοῦτο πα-
ρὰ τῶν ἱερῶν προφητῶν μεμαθηκὼς, καὶ οὕτως εἰρῆσθαι ὑπ᾽
αὐτῶν νομίσας; εἰ δὲ καὶ τὸν περὶ τῶν ἀγαλμάτων τις ἐξε-
τάζει λόγον, πόθεν ὁρμώμενοι οἱ πρῶτοι τοὺς θεοὺς ὑμῶν
κατασκευάζοντες ἀνθρώπων μορφὰς ἔχειν ἑαυτοὺς διέγνω-
σαν, εὑρήσει καὶ τοῦτο ἀπὸ τῆς θείας ἱστορίας μεμαθηκότας.
τῆς γὰρ μωυσέως ἱστορίας λεγούσης, ποιήσωμεν ἄνθρωπον
κατ᾽ εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν, ὡς οὕτως εἰρῆσθαι τῶν
ἀνθρώπων κατὰ τὴν μορφὴν ἐοικότων τῷ θεῷ, οὕτως κατα-
σκευάζειν τοὺς θεοὺς αὐτῶν ἤρξαντο, ἐκ τοῦ ὁμοίου τὸ ὅμοιον
δημιουργεῖν οἰόμενοι. τοῦ χάριν μνημονεῦσαι τούτων
νυνὶ προήχθην, ὦ ἄνδρες ἕλληνες, ἵνα γνῶτε ὅτι τὴν ἀλη-
θῆ θεοσέβειαν οὐ δυνατὸν παρὰ τούτων μανθάνειν, τῶν μηδὲ
ἐν οἷς ὑπὸ τῶν ἔξωθεν ἐθαυμάσθησαν ἴδιόν τι γράψαι δυ-
νηθέντων, ἀλλὰ διά τινος ἐκείνης ἀλληγορίας ὑπὸ μωυ-
σέως καὶ τῶν λοιπῶν προφητῶν ἐν τοῖς ἑαυτῶν συγγράμ-
μασιν ἀπηγγελκότων. καιρὸς οὖν ἥκει νῦν πεισθέν-
τας ὑμᾶς ὦ ἄνδρες ἕλληνες, ἀπὸ τῶν ἔξωθεν ἱστοριῶν, ὅτι
πολλῷ πρεσβύτατος μωυσῆς, καὶ οἱ λοιποὶ προφῆται γε-
γόνασι, πάντων τῶν παρ᾽ ὑμῖν σοφῶν γεγενῆσθαι νομισθέντων,
τῆς παλαιᾶς μὲν ὑμᾶς τῶν προγόνων ἀποστῆναι πλάνης,
ἐντυχεῖν δὲ ταῖς θείαις τῶν προφητῶν ἱστορίαις, καὶ γνῶναι
παρ᾽ αὐτῶν τὴν ἀληθῆ θεοσέβειαν, οὐ λόγων ὑμῖν ἀπαγ-
γελλόντων τέχνας, οὐδὲ πιθανῶς καὶ πιστευτικῶς λεγόντων.
τοῦτο γὰρ ἴδιον τῶν τὴν ἀλήθειαν κλέπτειν ἐθελόντων, ἀλλὰ
ἁπλῶς τοῖς ἐντυχοῦσιν ὀνόμασί τε καὶ ῥήμασι χρωμένων, καὶ

ταῦτα ὑμῖν ἀπαγγελλόντων ἃ δι' ἁγίου ἐπ' αὐτοὺς κατελθόντος πνεύματος, τοὺς τὴν ἀληθῆ θεοσέβειαν μανθάνειν βουλομένους δι' αὐτῶν διδάσκειν προῄρηνται. πάντων οὖν αἰδῶ καὶ παλαιᾶς ἀνθρώπων πλάνης, καὶ τὸν τῶν ὄγκων φαντασιώδη παρωσάμενοι τῦφον, δι' οὗ καὶ τὴν πάντων ἀπόλαυσιν ἔχειν οἴεσθε, ἔχεσθε τῶν ὑμῖν συμφερόντων. οὐδὲν γὰρ ἔσται τῶν ὑμῶν οὐδὲ περὶ τοὺς προγόνους ὑμῶν πλημμελὲς, εἰ εἰς τὴν ἐναντίαν τρέπεσθε νυνὶ, τῆς ἐξ ἐκείνων βούλεσθε πλάνης. οὓς εἰκὸς ἐν ἅδου νυνὶ ἐκπρόθεσμον μετάνοιαν μετανοοῦντας ὀδύρεσθαι, οἷς εἰ δυνατὸν ἦν, ἐκεῖθεν δηλοῦν ὑμῖν τὰ μετὰ τὴν τελευτὴν τοῦδε τοῦ βίου συμβεβηκότα αὐτοῖς, ἔγνωτε ἂν ὅσων ὑμᾶς ἀπαλλάξαι κακῶν προείλοντο, νυνὶ δὲ ἐπειδὴ μὴ δυνατὸν ἐν τῷ παρόντι, μήτε παρ' ἐκείνων ὑμᾶς μανθάνειν, μήτε μὴν παρὰ τῶν ἐνταῦθα τὴν ψευδώνυμον ταύτην φιλοσοφίαν φιλοσοφεῖν ἐπαγγελλομένων ἀκόλουθον ὑμῖν ἔσται λοιπὸν τὴν τῶν προγόνων ὑμῶν ἀπωσαμένους πλάνην, ἐντυγχάνειν ταῖς τῶν ἱερῶν ἀνδρῶν προφητείαις, μὴ δοκιμότητα φράσεως παρ' αὐτῶν αἰτοῦντας, οὐ γὰρ ἐν λόγοις, ἀλλ' ἐν ἔργοις τὰ τῆς ἡμετέρας θεοσεβείας πράγματα, καὶ μαθεῖν παρ' αὐτῶν τὰ αἴτια ὑμῖν τῆς αἰωνίου ζωῆς ἐσόμενα, οἱ γὰρ μάτην τὸ τῆς φιλοσοφίας ἐπηρεάζοντες ὄνομα, οὐδὲ εἰδότες ἐλέγχονται, ὡς καὶ αὐτοὶ ὁμολογεῖν καὶ ἄκοντες ἀναγκάζονται, δι' ὧν οὐ πρὸς ἀλλήλους στασιάζουσι μόνον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ἄλλως ἄλλοτε ἐκτίθενται δόξας. εἰ γὰρ ἡ τοῦ ἀληθοῦς εὕρεσις ὅρος τῆς λεγομένης παρ' αὐτοῖς φιλοσοφίας, πῶς οἱ τοῦ ἀληθοῦς μὴ τυγχάνοντες γνώσεως, τοῦ τῆς φιλοσοφίας ὀνόματος εἶ-



σιν ἄξιοι, εἰ γὰρ ὁ τῶν παρ' ὑμῖν σοφῶν σοφώτατος Σωκράτης ᾧ καὶ τὸ χρηστήριον ὑμῶν, ὡς αὐτοί φατε, μαρτυρεῖ λέγον, ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος, ὁμολογεῖ μηδὲν εἰδέναι, πῶς οἱ μετ' αὐτὸν καὶ τὰ ἐν οὐρανοῖς ἐπαγγέλλονται εἰδέναι. Σωκράτης γὰρ ἑαυτὸν σοφὸν διὰ τοῦτ' εἰρῆσθαι ἔφη, ὅτι τῶν λοιπῶν ἀνθρώπων ἃ μὴ ἴσασι, προσποιουμένων εἰδέναι, αὐτὸς οὐκ ὤκνει μηδὲν ὁμολογεῖν εἰδέναι. ἔφη γοῦν οὕτως, ἔοικα οὖν αὐτῷ τούτῳ γε σμικρῷ σοφώτατος εἶναι, ὅτι ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι, μηδεὶς δὲ οἰέσθω εἰρωνευόμενον ἄγνοιαν προσποιεῖσθαι Σωκράτην, ἐπειδὴ πολλάκις ἐν τοῖς διαλόγοις εἴωθε τοῦτο ποιεῖν, ἡ γὰρ τελευταία ῥῆσις τῆς ἀπολογίας, ἣν ἐπὶ τὸ δεσμωτήριον ἀπιὼν ἔφη, δηλοῖ μετὰ σπουδῆς αὐτὸν καὶ ἀληθείας τὴν ἄγνοιαν ὁμολογεῖν. ἔφη γὰρ οὕτως, ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν τεθνηξομένῳ, ὑμῖν δὲ βιωσομένοις, ὁπότεροι δὲ ἡμῶν ἐπὶ τὸ ἄμεινον πρᾶγμα ἔρχονται, ἄδηλον παντὶ, πλὴν ἢ τῷ θεῷ. ἀλλὰ Σωκράτης μὲν ταύτην ὑστάτην ἐν τῷ ἀρείῳ πάγῳ φωνὴν ἀφεὶς, ἐπὶ τὸ δεσμωτήριον ὥρμησε, τῷ θεῷ μόνῳ τὴν τῶν ἡμῖν ἀδήλων πραγμάτων ἀναφέρων γνῶσιν. οἱ δὲ μετ' αὐτὸν μηδὲ τὰ ἐπὶ γῆς γνῶναι δυνάμενοι, τὰ ἐν οὐρανῷ, ὡς ἑωρακότες εἰδέναι ἐπαγγέλλονται. ὁ γοῦν ἀριστοτέλης ὡς ἀκριβέστερον πλάτωνος τὰ ἐν οὐρανοῖς ἑωρακὼς, οὐχ ὥσπερ ὁ πλάτων ἐν τῇ πυρώδει οὐσίᾳ τὸν θεὸν εἶναι λέγει, οὕτω καὶ αὐτὸς ἔφη, ἀλλ' ἐν τῷ αἰθερώδει πέμπτῳ στοιχείῳ εἶναι αὐτὸν ἀπεφήνατο, καὶ περὶ τούτων πιστεύεσθαι ἑαυτὸν διὰ δοκιμότητα φράσεως ἀξιῶν, οὐδὲ τὴν τοῦ εὐρίπου φύσιν, τοῦ ὄντος ἐν χαλκίδι

γνῶναι δυνηθὲς διὰ πολλὴν ἀδοξίαν καὶ αἰσχύνην λυπηθὲν,
μετέστη τοῦ βίου. μηδεὶς οὖν τῶν φρονούντων περὶ πλείστου ἡγείσθω
τῆς ἑαυτοῦ σωτηρίας τὴν τούτων ὑποληψίαν, ἀλλὰ κατὰ τὴν
παλαιὰν ἐκείνην ἱστορίαν, κηρῷ τὰ ὦτα φραξάμενος τὴν ἐκ
τῶν σειρήνων αὐτῶν ἀνοχλῆσαι ἡδεῖαν φυγέτω βλάβην. οἱ
γὰρ προειρημένοι ἄνδρες ὥσπερ τι δέλεαρ τὴν ὑποληψίαν
προϊσχόμενοι πολλοὺς ἀπάγειν τῆς ὀρθῆς θεοσεβείας προῄ-
ρηνται, μιμούμενοι τὸν τὴν πολυθεότητα τοῖς πρώτοις ἀν-
θρώποις διδάξαι τολμήσαντα, οἷς μὴ πείθεσθαι ὑμᾶς ἀ-
ξιῶ, ἐντυγχάνειν δὲ ταῖς τῶν ἱερῶν ἀνδρῶν προφητείαις. εἰ
δέ τις ὄκνος, ἢ παλαιὰ τῶν προγόνων ὑμῶν δεισιδαιμονία
πρὸς τὸ ἐντυγχάνειν ὑμᾶς ταῖς τῶν ἁγίων ἀνδρῶν προφητείαις
κωλύει, δι' ὧν δυνατὸν μανθάνειν ὑμᾶς ἕνα καὶ μόνον εἶναι
θεόν, ὃ πρῶτόν ἐστι τῆς ἀληθοῦς θεοσεβείας γνώρισμα, τῷ
γοῦν πρότερον ὑμᾶς τὴν πολυθεότητα διδάξαντι, ὕστερον
δὲ λυσιτελῆ καὶ ἀναγκαίαν παλινῳδίαν ᾆσαι προελομένῳ
πείθεσθε ὀρφεῖ, ταῦτ' εἰρηκότι, ἃ μικρῷ πρόσθεν γέγρα-
φα, καὶ τοῖς λοιποῖς, καὶ τοῖς τὰ αὐτὰ περὶ ἑνὸς θεοῦ γεγρα-
φόσι πείθεσθε, θείας γὰρ ὑπὲρ ὑμῶν προνοίας ἔργον γέγο-
νε, τὸ καὶ ἄκοντας τούτους μαρτυρεῖν, τὰ ὑπὸ τῶν προφη-
τῶν περὶ ἑνὸς θεοῦ εἰρημένα ἀληθῆ εἶναι, ἵνα παρὰ πάντων
ὁ τῆς πολυθεΐας ἀνῃρημένος λόγος, ἀφορμὴν ὑμῖν πα-
ρέχῃ τῆς ἀληθοῦς γνώσεως. ἔστι δὲ ὑμῖν ῥᾳδίως τὴν ὀρ-
θὴν θεοσέβειαν ἐκ μέρους παρὰ τῆς παλαιᾶς σιβύλλης, ἔκ
τινος ἐπιπνοίας διὰ χρησμῶν ὑμᾶς διδασκούσης μανθά-
νειν, ταῦθ' ἅπερ ἐγγὺς εἶναι δοκεῖ τῶν προφητῶν διδα-



σκαλίας. ταύτην δὲ ἐκ μὲν βαβυλῶνος ὡρμῆσθαί φασι,
βηρώσου τοῦ τὴν χαλδαϊκὴν ἱστορίαν γράψαντος θυγα-
τέρα οὖσαν. εἰς δὲ τὰ μέρη τῆς καμπανίας οὐκ οἶδ' ὅπως δια-
βᾶσαν. ἐκεῖ τοὺς χρησμοὺς ἐξαγορεύειν, ἐν κύμῃ, οὕτω
καλουμένῃ πόλει ἓξ σημείων διεστώσῃ βαιῶν. ἔνθα τὰ θερ-
μὰ τῆς καμπανίας εἶναι συμβαίνει, ἐθεασάμεθα δὲ ἐν τῇ
πόλει γενόμενοι, καί τινα τόπον ἐν ᾧ βασιλικὴν μεγίστην
ἐξ ἑνὸς ἐξεσμένην λίθου ἔγνωμεν πρᾶγμα μέγιστον, καὶ παντὸς
θαύματος ἄξιον, ἔνθα τοὺς χρησμοὺς αὐτὴν ἀπαγγέλλειν,
οἱ ὡς πάτρια παραληφότες παρὰ τῶν ἑαυτῶν προγό-
νων ἔφασκον, ἐν μέσῳ δὲ τῆς βασιλικῆς ἐπεδείκνυον ἡμῖν
τρεῖς δεξαμενὰς ἐκ τοῦ αὐτοῦ ἐξεσμένας λίθου, ὧν πληρου-
μένων ὕδατος, λούεσθαι αὐτὴν ἐν αὐταῖς ἔλεγον, καὶ στο-
λὴν ἀναλαμβάνουσαν εἰς τὸν ἐνδότατον τῆς βασιλικῆς οἶκον
βαδίζειν ἐκ τοῦ αὐτοῦ ἐξεσμένον λίθου, καὶ ἐν μέσῳ τοῦ οἴκου
καθεζομένην ἐπὶ ὑψηλοῦ βήματος καὶ θρόνου, οὕτω τοὺς χρη-
σμοὺς ἐξαγορεύειν. ταύτης δὲ τῆς σιβύλλης ὡς χρησμῳδοῦ
πολλοὶ μὲν καὶ ἄλλοι τῶν συγγραφέων μέμνηνται, καὶ πλά-
των ἐν τῷ φαίδρῳ. δοκεῖ δέ μοι τοῖς ταύτης χρησμοῖς
ἐντυχὼν ὁ πλάτων τοὺς χρησμῳδοὺς ἐκθειάζειν, ἑώρα γὰρ τὰ
ὑπ' αὐτῆς πάλαι προειρημένα ἔργοις πληρούμενα, καὶ διὰ
τοῦτο θαυμάσας ἐν τῷ πρὸς μένωνα λόγῳ αὐταῖς λέξεσιν
ἐπαινῶν τοὺς χρησμῳδοὺς, οὕτω γέγραφε, ὀρθῶς ἄρα ἂν κα-
λοῖμεν θείους τε οὓς δὴ νῦν λέγομεν χρησμῳδοὺς, οὐχ
ἥκιστα φαμὲν ἂν τούτους τε θείους εἶναι καὶ ἐνθουσιάζειν ἐ-
πίπνους ὄντας, καὶ κατεχομένους ἐκ τοῦ θεοῦ, ὅταν κατορ-

κ

Universidad de Deusto Biblioteca



θῶσι λέγοντες πολλὰ καὶ μεγάλα πράγματα, μηδὲν εἰδότες ὧν λέγουσι· σαφῶς καὶ φανερῶς, εἰς τοὺς σιβύλλης ἀφορῶν χρησμούς. αὕτη γὰρ οὐχ ὥσπερ οἱ ποιηταὶ, καὶ μετὰ τὸ γράψαι τὰ ποιήματα εἶχεν ἐξουσίαν διορθοῦσθαι, καὶ ἐπιξέειν μάλιστα διὰ τὴν τῶν μέτρων ἀκρίβειαν, ἀλλ' ἐν μὲν τῷ τῆς ἐπιπνοίας καιρῷ τὰ τῆς προφητείας ἐπλήρου. παυσαμένης δὲ τῆς ἐπιπνοίας, ἐπέπαυτο καὶ ἡ τῶν εἰρημένων μνήμη, τοῦτ' οὖν αἴτιον τοῦ μὴ πάντα τὰ μέτρα τῶν ἐπῶν τῆς σιβύλλης σώζεσθαι. αὐτοὶ γὰρ ἐν τῇ πόλει γενόμενοι παρὰ τῶν περιηγητῶν μεμαθήκαμεν, τῶν καὶ τοὺς τόπους ἡμῖν ἐν οἷς ἐχρησμῴδει ὑποδειξάντων, καὶ φακόν τινα ἐκ χαλκοῦ κατεσκευασμένον, ἐν ᾧ τὰ λείψανα αὐτῆς σώζεσθαι ἔλεγον. ἔφασκον δὲ μετὰ πάντων ὧν διηγοῦντο καὶ τοῦτο, ὡς παρὰ τῶν προγόνων ἀκηκοότες, ὅτι οἱ ἐκλαμβάνοντες τοὺς χρησμοὺς, τηνικαῦτα ἐκτὸς παιδείας ὄντες πολλαχοῦ τῆς τῶν μέτρων ἀκριβείας διημάρτανον, καὶ ταύτην ἔλεγον αἰτίαν εἶναι τῆς ἐνίων ἐπῶν ἀμετρείας, τῆς μὲν χρησμῳδοῦ μετὰ τὸ πεπαῦσθαι τῆς κατοχῆς καὶ τῆς ἐπιπνοίας μὴ μεμνημένης τῶν εἰρημένων, τῶν δὲ ὑπογραφέων δι' ἀπαιδευσίαν, τῆς τῶν μέτρων ἀκριβείας ἐκπεπτωκότων. διὰ τοῦτο τοίνυν τὸν πλάτωνα εἰς τοὺς τῆς σιβύλλης ἀφορῶντα χρησμοὺς, περὶ τῶν χρησμῳδῶν τοῦτ' εἰρηκέναι δῆλον. ἔφη γὰρ οὕτως, ὅταν κατορθῶσι λέγοντες πολλὰ καὶ μεγάλα πράγματα, μηδὲν εἰδότες ὧν λέγουσι.

ἀλλ' ἐπειδήπερ ὦ ἄνδρες ἕλληνες, οὐκ ἐν ποιητικοῖς μέτροις τὰ τῆς ἀληθοῦς θεοσεβείας πράγματα, οὐδὲ ἐν τῇ παρ' ὑμῖν εὐδοκιμούσῃ παιδεύσει, ἀφέμενοι

---

Ἐκ τῶν [illegible] Φωτίου.

✝ Ἀνεγνώσθη ἰουστίνου τοῦ μάρτυρος πραγματεία κατὰ τοῦ πρώτου καὶ δευτέρου τῆς φυσικῆς ἀκροάσεως. ἤτοι κατὰ ἄλλους καὶ ὕλης καὶ στερήσεως εἰσὶ χρηματικοὶ καὶ βίαιοι καὶ ψυχρώδεις λόγοι καὶ κατὰ τοῦ πέμπτου σώματος ὁμοίως. καὶ κατὰ τῆς ἀιδίου κινήσεως. ἣν ἀριστοτέλης δεινότητι λογισμῶν ἐνοσπετεχ. ἔστι δὲ φιλοσοφίας μὲν ὁ ἀνὴρ τῆς τε καθ' ἡμᾶς καὶ μάλιστά γε τῆς θύραθεν εἰς ἄκρον ἀνηγμένος. ῥητορικαῖς δὲ τέχναις οὐκ ἔσχε σπουδὴν ἐπιχρῶσαι τὸ ἔμφυτον αὐτοῦ τῆς φιλοσοφίας κάλλος.

Typog.

Universidad de Deusto
Biblioteca

ποιητικοῖς ... ...

πα, ὅθεν ἐν τῇ ... ὑμῖν εὐδοκιμήσῃ

V. f.
Magnitudo ☉ centies et septuagies proxime terrae magnitudinem continet. Ptolem. Mag. comp. 5. cap. 16.

V. διὰ γὰρ ... v. Macrob. in somn. i. cap. 20. et 21. et Gem. de Radio cap. 16.

Incidentia radij perpendicularis in corpus a nonnullis inter umbrae species numeratur, ut Cleomed. qui umbram per κάθετον reddit. Stof. pag. 8. in Proc.

V. 10/
5δ'. 94.
5ϐ'. 92.
~~σπη. 88.~~
5δ'. 94.

14
V. διὰ ... πάσης ...
η. for. διὰ ...
... 

De Canopo Rh... ...

Κύνηοις ... Ευγα...

...cul-
...sacre...
...io.

L. V. D.

Typog.

RELIC
TVRO
SAT
IS

Universidad de Deusto
Biblioteca

Archivo
Estant
Plúteo